ضد أبيون أو عن آثار اليهود القديمة

الجزء الأول

الفصل الأول

١- أي **إبّافروديتوس**، يا أفضل الناس طراً، أعتقد أنني من خلال مؤلفي الخاص **بالآثار اليهودية القديمة**، قد بينت بوضوح وجلاء كافيين لهؤلاء الذين سوف يقدر لهم أن يطالعوه، مدى قدم جنسنا - نحن معشر اليهود - وعراقته، ومدى (نقاء) جوهره منذ بدايته، وما هي الكيفية التي أتيح لأمتنا بها أن تقطن الأرض التي نقيم فيها الآن؛ وهي فترة من التاريخ يبلغ مداها خمسة آلاف عام[1]، قمت بتدوينها بالتفصيل باللغة اليونانية، بحيث تشتمل على معلومات من الكتب المقدسة الموجودة بين ظهرانينا.

٢- ذلك أنني لاحظت أن هناك عدداً غفيراً من الأشخاص - تحت تأثير أقوال مفتراة ناجمة عن عداء من قبل أناس آخرين - يتشككون فيما قمت بتدوينه (في مؤلفي المذكور) **عن آثارنا القديمة**، وأنهم يستدلون على أن أرومتنا أحدث في ظهورها (من الأجناس الأخرى)، بدليل عدم استحقاقها لذكر من أي نوع فيما دونه المؤرخون الإغريق.

٣- لذا فقد اعتقدت أنه يجب عليّ أن أدون مؤلفاً موجزاً عن هذه العناصر والتفاصيل كافة، أفند فيه مزاعم الساخرين المرجفين، كما أدحض فيه سوء نية المزيفين عن عمد، وأن أصحح فيه أيضاً جهل البعض الآخر، وأبين لكل من يرغبون في معرفة الحقيقة مدى قدم تاريخنا وآثارنا.

CONTRA APIONEM

ΠΕΡΙ ΑΡΧΑΙΟΤΗΤΟΣ ΙΟΥΔΑΙΩΝ

ΛΟΓΟΣ ΠΡΟΤΕΡΟΣ

1 (1) Ἱκανῶς μὲν ὑπολαμβάνω καὶ διὰ τῆς περὶ τὴν ἀρχαιολογίαν συγγραφῆς, κράτιστε ἀνδρῶν Ἐπαφρόδιτε, τοῖς ἐντευξομένοις αὐτῇ πεποιηκέναι φανερὸν περὶ τοῦ γένους ἡμῶν τῶν Ἰουδαίων, ὅτι καὶ παλαιότατόν ἐστι καὶ τὴν πρώτην ὑπόστασιν ἔσχεν ἰδίαν, καὶ πῶς τὴν χώραν ἣν νῦν ἔχομεν κατῴκησεν· ⟨ἦν⟩[1] πεντακισχιλίων ἐτῶν ἀριθμὸν ἱστορίαν περιέχουσαν ἐκ τῶν παρ' ἡμῖν ἱερῶν βίβλων διὰ τῆς Ἑλληνικῆς φωνῆς συνεγραψάμην. **2** ἐπεὶ δὲ συχνοὺς ὁρῶ ταῖς ὑπὸ δυσμενείας ὑπό τινων εἰρημέναις προσέχοντας βλασφημίαις καὶ τοῖς περὶ τὴν ἀρχαιολογίαν ὑπ' ἐμοῦ γεγραμμένοις ἀπιστοῦντας τεκμήριόν τε ποιουμένους τοῦ νεώτερον εἶναι τὸ γένος ἡμῶν τὸ μηδεμιᾶς παρὰ τοῖς ἐπιφανέσι τῶν Ἑλληνικῶν ἱστοριογράφων μνήμης **3** ἠξιῶσθαι, περὶ τούτων ἁπάντων ὠήθην δεῖν γράψαι συντόμως, τῶν[2] μὲν λοιδορούντων τὴν δυσμένειαν καὶ τὴν ἑκούσιον ἐλέγξαι ψευδολογίαν, τῶν δὲ τὴν ἄγνοιαν ἐπανορθώσασθαι, διδάξαι

[1] κατῴκησε L: ἦν added in *ed. pr.*
[2] καὶ τῶν (with Lat.) Bekker.

٤- وأجد أنه من المجدي أن أسوق على ما دونته وقلته شهوداً من أكثر الكتاب الإغريق تميزاً واستحقاقاً على امتداد عصور التاريخ القديم كلها، ولسوف أظهر بجلاء أن أولئك الذين كتبوا ضدنا افتراءً وكذباً سوف يدحضون أنفسهم بأنفسهم.

٥- كذلك سوف أحاول أن أقدم الأسباب التي لم يذكر أمتنا بسببها سوى عدد قليل من الإغريق في كتبهم التاريخية. ثم إنني سوف ألقي الضوء - من ناحية أخرى- على أولئك الكتاب الذين لم يتقاعسوا عن تدوين تاريخنا ولم يهملوه، وسوف أقوم بتوضيح ذلك سواء لمن يجهلونه أو لمن يتظاهرون بالجهل به.

الفصل الثاني

٦- وفي مبدأ الأمر خطرت لي فكرة دفعتني إلى مزيد من الدهشة والعجب من (مسلك) هؤلاء الذين يتصورون أن دراسة الأعمال بالغة القدم، أمر ينبغي التعويل فيه - فيما يختص بمعرفة الحقيقة- على الإغريق وحدهم دون سواهم، وأنه لا توجد فيما يتعلق بذلك المقام ثقة سواء فينا أو في الأقوام الأخرى غيرنا. وفي تصوري أن القضية برمتها على العكس من ذلك على طول الخط، هذا إذا ما كان الواجب الحق يقتضي منا عدم اتباع الآراء الجوفاء التي لا تسمن ولا تغني من جوع، بل الالتزام بما هو حق وعدل (ومستمد) من الحقائق ذاتها.

٧- ذلك أنه اتضح أن كل ما عند الإغريق، وكل ما هو موجود بين ظهرانيهم من أحداث حديث (النشأة)[٢]. وأن تاريخه يرجع إما إلى الأمس أو إلى ما قبل الأمس بيوم- كما يقال- وإنني أشير في هذا الصدد إلى تأسيسهم للمدن، وإلى ابتكارهم للفنون، وكذلك إلى مدوناتهم للقوانين. ولكن أشد منجزاتهم جدة - أو ربما أكثرها حداثة - هو اهتمامهم وعكوفهم على تأليف الأعمال التاريخية.

٨- وعلى العكس من ذلك - كما يقر الإغريق أنفسهم حقا وصدقاً - فإن المصريين والكلدانيين والفينيقيين - ولسوف أغض الطرف في الوقت الحاضر عن ذكر أمتنا في هذا السياق - يحظون بتاريخ بالغ القدم، ويمتلكون سجلا بالغ التفرد في العراقة.

δὲ πάντας ὅσοι τἀληθὲς εἰδέναι βούλονται περὶ
4 τῆς ἡμετέρας ἀρχαιότητος. χρήσομαι δὲ τῶν μὲν
ὑπ' ἐμοῦ λεγομένων μάρτυσι τοῖς ἀξιοπιστοτάτοις
εἶναι περὶ πάσης ἀρχαιολογίας ὑπὸ τῶν Ἑλλήνων
κεκριμένοις, τοὺς δὲ βλασφήμως περὶ ἡμῶν καὶ
ψευδῶς γεγραφότας αὐτοὺς δι' ἑαυτῶν ἐλεγχο-
5 μένους παρέξω. πειράσομαι δὲ καὶ τὰς αἰτίας
ἀποδοῦναι, δι' ἃς οὐ πολλοὶ τοῦ ἔθνους ἡμῶν ἐν
ταῖς ἱστορίαις Ἕλληνες ἐμνημονεύκασιν. ἔτι μέντοι
καὶ τοὺς οὐ παραλιπόντας τὴν περὶ ἡμῶν ἱστορίαν
ποιήσω φανεροὺς τοῖς μὴ γιγνώσκουσιν ἢ προσ-
ποιουμένοις ἀγνοεῖν.

6 (2) Πρῶτον οὖν ἐπέρχεταί μοι πάνυ θαυμάζειν τοὺς
οἰομένους δεῖν περὶ τῶν παλαιοτάτων ἔργων
μόνοις προσέχειν τοῖς Ἕλλησι καὶ παρὰ τούτων
πυνθάνεσθαι τὴν ἀλήθειαν, ἡμῖν δὲ καὶ τοῖς ἄλλοις
ἀνθρώποις ἀπιστεῖν. πᾶν γὰρ ἐγὼ τοὐναντίον ὁρῶ
συμβεβηκός, εἴ γε δεῖ μὴ ταῖς ματαίαις δόξαις
ἐπακολουθεῖν, ἀλλ' ἐξ αὐτῶν τὸ δίκαιον τῶν
7 πραγμάτων λαμβάνειν. τὰ μὲν γὰρ παρὰ τοῖς
Ἕλλησιν ἅπαντα νέα καὶ χθὲς καὶ πρῴην, ὡς ἄν
εἴποι τις, εὕροι[1] γεγονότα, λέγω δὲ τὰς κτίσεις
τῶν πόλεων καὶ τὰ περὶ τὰς ἐπινοίας τῶν τεχνῶν
καὶ τὰ περὶ τὰς τῶν νόμων ἀναγραφάς· πάντων δὲ
νεωτάτη σχεδόν ἐστι παρ' αὐτοῖς ἡ περὶ τοῦ
8 συγγράφειν τὰς ἱστορίας ἐπιμέλεια. τὰ μέντοι
παρ' Αἰγυπτίοις τε καὶ Χαλδαίοις καὶ Φοίνιξιν,
ἐῶ γὰρ νῦν ἡμᾶς ἐκείνοις συγκαταλέγειν, αὐτοὶ

[1] *cognovi* (εὕρον ?) Lat.

٩- ذلك أن هذه (الأمم) كافة تقطن مناطق أقل ما تكون تعرضا للبوار والدمار في محيطها، كما أنها بذلت كثيرا من العناية والاهتمام من أجل ألا يتطرق النسيان أو الضياع لأية حادثة من منجزات مواطنيها، وكي تظفر هذه المنجزات دوماً بالتكريس وبالتقديس الواجبين في السجلات الرسمية (العامة)، التي يدونها أكثر الناس فيها حكمة وعلماً.

١٠- أما هيلاس (= بلاد اليونان) فقد تعرضت أراضيها لعدد من النكبات والويلات[٣] لا يمكن حصره، أدى تعاقبها إلى طمس ذكرى منجزات الماضى فيها. وكلما حل قوم جدد منهم ضيوفاً على الحياة بعد أسلافهم، اعتقدوا أنهم هم الأسبق والأقدم من سواهم (في هذا العالم)، رغم أنهم كانوا آخر من تعلموا وبصعوبة طبيعة الحروف الأبجدية. وإن كان أولئك الذين راضوا أنفسهم على استخدامها خلال العصور الأقدم، قد تشدقوا وتباهوا بأنهم تعلموها على يد **الفينيقيين** وعلى يد **كادموس**[٤].

١١- وليس هناك شخص واحد حقاً بوسعه أن يقدم دليلاً على تاريخ هذا (الاستخدام) من أي سجل حفظه لنا التاريخ، سواء في المعابد أو في الآثار الرسمية. أما فيما يتعلق بموضوع استخدام أولئك الذين شاركوا في حرب طروادة لهذه الحروف الأبجدية[٥] لمدة سنوات طويلة بعد هذا التاريخ، فما زال قضية يكتنفها الكثير من الغموض وتثير الكثير من الجدل. ولكن الحقيقة التي استقرت ورسخت في الأذهان، هي أن هؤلاء القوم كانوا يجهلون طريقة استخدام الحروف الأبجدية السائدة في وقتنا هذا الحاضر.

١٢- وليس هناك عمل أدبي - من بين كافة الأعمال التي وجدت بين الإغريق - نال الاعتراف بأنه الأكثر قدماً سوى أشعار **هوميروس**، ومع ذلك يبدو أن (هذا الشاعر قد عاش في فترة) أحدث من فترة الحرب الطروادية، وأنه - كما يقال - لم يترك أشعاره مدونة، بل تركها على هيئة أناشيد (مبعثرة) تناقلتها ذاكرة الرواة، ثم تم تجميعها وتوحيدها فيما بعد؛ وبسبب هذا فإنها احتوت في متنها على كثير من التناقض والاختلافات[٦].

δήπουθεν ὁμολογοῦσιν ἀρχαιοτάτην τε καὶ μονιμω-
9 τάτην ἔχειν τῆς μνήμης τὴν παράδοσιν· καὶ γὰρ τόπους ἅπαντες οἰκοῦσιν ἥκιστα ταῖς ἐκ τοῦ περιέχοντος φθοραῖς ὑποκειμένους καὶ πολλὴν ἐποιήσαντο πρόνοιαν τοῦ μηδὲν ἄμνηστον τῶν παρ' αὐτοῖς πραττομένων παραλιπεῖν, ἀλλ' ἐν δημοσίαις ἀναγραφαῖς ὑπὸ τῶν σοφωτάτων ἀεὶ καθιεροῦσθαι.
10 τὸν δὲ περὶ τὴν Ἑλλάδα τόπον μυρίαι μὲν φθοραὶ κατέσχον ἐξαλείφουσαι τὴν μνήμην τῶν γεγονότων, ἀεὶ δὲ καινοὺς καθιστάμενοι βίους τοῦ παντὸς ἐνόμιζον ἄρχειν ἕκαστοι τὸν[1] ἀφ' ἑαυτῶν, ὀψὲ δὲ καὶ μόλις ἔγνωσαν φύσιν γραμμάτων. οἱ γοῦν ἀρχαιοτάτην αὐτῶν τὴν χρῆσιν εἶναι θέλοντες παρὰ Φοινίκων καὶ Κάδμου σεμνύνονται μαθεῖν.
11 οὐ μὴν οὐδ' ἀπ'[2] ἐκείνου τοῦ χρόνου δύναιτό τις ἂν δεῖξαι σωζομένην ἀναγραφὴν οὔτ' ἐν ἱεροῖς οὔτ' ἐν δημοσίοις ἀναθήμασιν, ὅπου γε καὶ περὶ τῶν ἐπὶ Τροίαν τοσούτοις ἔτεσι στρατευσάντων ὕστερον πολλὴ γέγονεν ἀπορία τε καὶ ζήτησις, εἰ γράμμασιν ἐχρῶντο, καὶ τἀληθὲς ἐπικρατεῖ μᾶλλον περὶ τοῦ τὴν νῦν οὖσαν τῶν γραμμάτων
12 χρῆσιν ἐκείνους ἀγνοεῖν. ὅλως δὲ παρὰ τοῖς Ἕλλησιν οὐδὲν ὁμολογούμενον εὑρίσκεται γράμμα τῆς Ὁμήρου ποιήσεως πρεσβύτερον, οὗτος δὲ καὶ τῶν Τρωϊκῶν ὕστερος φαίνεται γενόμενος, καί φασιν οὐδὲ τοῦτον ἐν γράμμασι τὴν αὑτοῦ ποίησιν καταλιπεῖν, ἀλλὰ διαμνημονευομένην ἐκ τῶν ᾀσμάτων ὕστερον συντεθῆναι καὶ διὰ τοῦτο

[1] So Eus. (one MS.): τῶν L. [2] Eus.: ἐπ' L Lat.

١٣- ومن ناحية أخرى، فإن أولئك الذين تصدوا - في مبدأ الأمر - لمحاولة تدوين التاريخ من بين (الإغريق)، وأعني بهم المؤرخين من أمثال **كادموس** الميليتى **وأكوسيلاؤوس** من أرجوس، ومن جاء بعدهما من كتاب التاريخ المعروفين، لم يسبقوا زمنياً فترة نشوب الحرب الفارسية ضد بلاد اليونان إلا بمدة زمنية قصيرة.

١٤- كذلك فإن الرواد من الفلاسفة الذين نشأوا بين الإغريق، وتناولوا بالدراسة الموضوعات السماوية[٧] والإلهية، مثل **فيريكيديس** السوري، **وفيثاغورث، وطاليس**، كانوا جميعاً بما دونوه من مؤلفات قليلة - وباعتراف الجميع - تلاميذاً للمصريين والكلدانيين. والحق أن هذه الأعمال تعتبر أقدم المؤلفات طراً عند الإغريق، ولكنهم مع ذلك لا يكادون يؤمنون فى صحة نسبتها وتدوينها إلى كتابهم ومؤلفيهم.

الفصل الثالث

١٥- فكيف بالله عليكم يبلغ الخداع والغفلة بالإغريق حداً يجعلهم يعتقدون - وهو أمر يبلغ مستوى اللامعقول - أنهم هم وحدهم العارفون بالتاريخ القديم، وأنهم هم العالمون على وجه الدقة بحقيقة دقائقه وتفصيلاته؟ أو ليس فى وسع أى شخص أن يعلم بسهولة ويسر - مما دونه الكتاب والمؤلفون أنفسهم - أنه لا يوجد شئ واحد مما ألفوه من مؤلفات معلوم على وجه اليقين، بل إنه متروك للتخمين من جانب كل مؤلف (ليفسره) وفق هواه؟ والأدهى من ذلك أنهم ينبرون - فى الغالب الأعم - فى كتبهم ومؤلفاتهم لتفنيد آراء بعضهم البعض ودحضها، وأنهم لا يترددون فى رواية الأحداث ذاتها بطريقة مناقضة لها على طول الخط!

١٦- وقد يُعد أمراً من قبيل التزيد من جانبى، لو أننى شرعت فى أن أوضح وأبين لمن هم أكثر منى معرفة، مدى التناقض الواضح بين كل من **هيلانيكوس**[٨] **وأكوسيلاؤوس** حول الأنساب والسلالات[٩]، وكم التصويبات التى أجراها **أكوسيلاؤوس** (على كتابات) **هسيودوس**، ومدى الانتحال والكذب الذى كشفه **إفوروس** وبين مواضعه - بطريقة ما - فى معظم مؤلفات **هيلانيكوس**، ومدى (الأخطاء الفادحة) التى تردى فيها **إفوروس** (وصححها له زميله) **تيمايوس**[١٠]، أو تلك التى وقع فيها **تيمايوس** وصوبها له كتاب التاريخ الآخرون، أو تلك التى

13 πολλὰς ἐν αὐτῇ σχεῖν τὰς διαφωνίας. οἱ μέντοι τὰς ἱστορίας ἐπιχειρήσαντες συγγράφειν παρ' αὐτοῖς, λέγω δὲ τοὺς περὶ Κάδμον τε τὸν Μιλήσιον καὶ τὸν Ἀργεῖον Ἀκουσίλαον καὶ μετὰ τοῦτον εἴ τινες ἄλλοι λέγονται γενέσθαι, βραχὺ τῆς Περσῶν ἐπὶ τὴν Ἑλλάδα στρατείας τῷ χρόνῳ προὔλαβον.
14 ἀλλὰ μὴν καὶ τοὺς περὶ τῶν οὐρανίων τε καὶ θείων πρώτους παρ' Ἕλλησι φιλοσοφήσαντας, οἷον Φερεκύδην τε τὸν Σύριον καὶ Πυθαγόραν καὶ Θάλητα, πάντες συμφώνως ὁμολογοῦσιν Αἰγυπτίων καὶ Χαλδαίων γενομένους μαθητὰς ὀλίγα συγγράψαι, καὶ ταῦτα τοῖς Ἕλλησιν εἶναι δοκεῖ πάντων ἀρχαιότατα καὶ μόλις αὐτὰ πιστεύουσιν ὑπ' ἐκείνων γεγράφθαι.
15 (3) Πῶς οὖν οὐκ ἔστιν ἄλογον τετυφῶσθαι τοὺς Ἕλληνας ὡς μόνους ἐπισταμένους τἀρχαῖα καὶ τὴν ἀλήθειαν περὶ αὐτῶν ἀκριβῶς παραδιδόντας; ἢ τίς οὐ παρ' αὐτῶν ἂν τῶν συγγραφέων μάθοι ῥᾳδίως, ὅτι μηδὲ ἓν βεβαίως εἰδότες συνέγραφον, ἀλλ' ὡς ἕκαστοι περὶ τῶν πραγμάτων εἴκαζον; τὸ[1] πλέον γοῦν διὰ τῶν βιβλίων ἀλλήλους ἐλέγχουσι καὶ τἀναντιώτατα περὶ τῶν αὐτῶν λέγειν
16 οὐκ ὀκνοῦσι. περίεργος δ' ἂν εἴην ἐγὼ τοὺς ἐμοῦ μᾶλλον ἐπισταμένους διδάσκων ὅσα μὲν Ἑλλάνικος Ἀκουσιλάῳ περὶ τῶν γενεαλογιῶν διαπεφώνηκεν, ὅσα δὲ διορθοῦται τὸν Ἡσίοδον Ἀκουσίλαος, ἢ τίνα τρόπον Ἔφορος μὲν Ἑλλάνικον ἐν τοῖς πλείστοις ψευδόμενον ἐπιδείκνυσιν, Ἔφορον δὲ

[1] εἴκαζον ; τὸ Gutschmid : εἰκάζοιντο L.

(زخرت بها أعمال) **هيرودوتوس** وصوبها كل الكتاب والمؤرخون[١١].

١٧- وحتى فيما يتعلق (بتاريخ) صقلية، نجد أن **تيمايوس** لم يقتنع بأن من الواجب عليه أن يتفق ما مع ما دونه **أنطيوخوس**[١٢] أو **فيليستوس**، أو **كالياس**. كذلك فإن هناك اختلافاً وتناقضاً بين المؤرخين فيما دُون عن تاريخ الأتيكيين على يد هؤلاء الذين يعرفون باسم "**مؤلفي التاريخ الأتيكي**"[١٣]، واختلافاً وتناقضاً أيضا بين المؤرخين فيما دون عن تاريخ منطقة أرجوس على يد المؤرخين الذين دونوا تاريخ أرجوس.

١٨- وهل هناك ضرورة تدفعني إلى الحديث عن تاريخ الدويلات اليونانية، وعن أحداث أقل من ذلك شأناً، في الوقت الذي يتردى فيه في التناقض والخطأ مؤرخون بالغو العظمة في قدرهم وعلو كعبهم، عند تدوينهم لفترة الحروب الفارسية وما جرى خلالها من أحداث؟ فحتى المؤرخ **ثوكيديديس** لم يسلم من اتهامه بالخطأ وعدم الدقة في مواضع كثيرة علي أيدى زملائه المؤرخين، رغم كونه من أكثر المؤرخين اتصافاً بالدقة وأعظمهم (شهرة) في التدوين التاريخي في عصره !

الفصل الرابع

١٩- وهناك بلا ريب أسباب كثيرة لهذا التناقض أو الاختلاف، بل وربما كانت هناك أسباب أخرى غير تلك بالنسبة لمن يرغبون في البحث عنها وتقصيها. أما فيما يتعلق بي فإنني أعزو التأثير الأعظم والأشد رجحاناً (في هذا الصدد) إلى سببين سوف أنبري الآن لذكرهما، ولسوف أبدأ (أولاً) بذكر السبب الذي يعد في نظري أكثرهما قدرة ورجحاناً.

٢٠- ذلك أنه لم يوجد اهتمام منذ البدء لدى الإغريق بإنشاء سجلات رسمية عن إنجازات كل (دويلة من دويلاتهم)، وهو الأمر الذي أدى حقاً وبوجه خاص إلى الوقوع في أخطاء (جمة)، وأباح التساهل، فيما يخص تحمل المسئولية عن الدس والزيف، لأولئك الكتاب الذين أزمعوا فيما بعد تدوين المؤلفات التاريخية الخاصة بتاريخهم القديم.

٢١- ولم يكن هذا الإهمال قاصراً فقط على السجلات الخاصة بسائر الدويلات الإغريقية (الأقل شأناً)، بل إنه امتد أيضاً إلى الأثينيين أنفسهم، الذين أعلنوا أنهم سكان أصلاء[١٤] غير مهاجرين، وأنهم عاكفون علي التعلم والمعرفة.فنحن لا نجد لديهم شيئاً مماثلاً لهذه (السجلات)، بل إن أقدم ما امتلكوه من سجلات رسمية هو ما يقال إنه متعلق بالقوانين التي دونها لهم دراكون

Τίμαιος, καὶ Τίμαιον οἱ μετ' ἐκεῖνον γεγονότες,
17 Ἡρόδοτον δὲ πάντες. ἀλλ' οὐδὲ περὶ τῶν Σικελικῶν τοῖς περὶ Ἀντίοχον καὶ Φίλιστον ἢ Καλλίαν Τίμαιος συμφωνεῖν ἠξίωσεν, οὐδ' αὖ περὶ τῶν Ἀττικῶν οἱ τὰς Ἀτθίδας συγγεγραφότες ἢ περὶ τῶν Ἀργολικῶν οἱ τὰ περὶ Ἄργος ἱστοροῦντες
18 ἀλλήλοις κατηκολουθήκασι. καὶ τί δεῖ λέγειν περὶ τῶν κατὰ πόλεις καὶ βραχυτέρων, ὅπου γε περὶ τῆς Περσικῆς στρατείας καὶ τῶν ἐν αὐτῇ πραχθέντων οἱ δοκιμώτατοι διαπεφωνήκασι; πολλὰ δὲ καὶ Θουκυδίδης ὡς ψευδόμενος ὑπό τινων κατηγορεῖται, καίτοι δοκῶν ἀκριβέστατα τὴν[1] καθ' αὑτὸν ἱστορίαν συγγράφειν.

19 (4) Αἰτίαι δὲ τῆς τοιαύτης[2] διαφωνίας πολλαὶ μὲν ἴσως ἂν καὶ ἕτεραι τοῖς βουλομένοις ζητεῖν ἀναφανεῖεν,[3] ἐγὼ δὲ δυσὶ ταῖς λεχθησομέναις τὴν μεγίστην ἰσχὺν ἀνατίθημι· καὶ προτέραν ἐρῶ τὴν
20 κυριωτέραν εἶναί μοι δοκοῦσαν. τὸ γὰρ ἐξ ἀρχῆς μὴ σπουδασθῆναι παρὰ τοῖς Ἕλλησι δημοσίας γίνεσθαι περὶ τῶν ἑκάστοτε πραττομένων ἀναγραφὰς τοῦτο μάλιστα δὴ καὶ τὴν πλάνην καὶ τὴν ἐξουσίαν τοῦ ψεύδεσθαι τοῖς μετὰ ταῦτα βουλη-
21 θεῖσι περὶ τῶν παλαιῶν τι γράφειν παρέσχεν. οὐ γὰρ μόνον παρὰ τοῖς ἄλλοις Ἕλλησιν ἠμελήθη τὰ περὶ τὰς ἀναγραφάς, ἀλλ' οὐδὲ παρὰ τοῖς[4] Ἀθηναίοις, οὓς αὐτόχθονας εἶναι λέγουσι καὶ παιδείας ἐπιμελεῖς, οὐδὲν τοιοῦτον εὑρίσκεται γενόμενον, ἀλλὰ τῶν δημοσίων γραμμιάτων ἀρχαιοτάτους

[1] ἀκριβέστατα τὴν Holwerda: ἀκριβεστάτην L.
[2] Eus.: τοσαύτης L.
[3] ἂν φανεῖεν Niese.
[4] παρ' αὐτοῖς Eus. Lat.

عن جرائم قتل (النفس)؛ مع أن (دراكون) هذا شخص عاش في فترة زمنية لا تبعد كثيراً عن الفترة التي عاش فيها الطاغية بيسستراتوس من بعده.

٢٢- أما عن الأركاديين[١٥] فماذا عليَّ أن أقول عن قدم تاريخهم الذي به يتباهون؟ فالحق أنهم لم يتعلموا الحروف الأبجدية إلا بعد مرور فترة زمنية تالية (لفترة الأثينيين).

الفصل الخامس

٢٣- وهكذا إذن فإن عدم وجود أساس من نوع ما للسجلات المدونة، بحيث يمكن استخدامه فيما بعد لتعليم الراغبين في المعرفة وتفنيد حجة المزيفين والكاذبين، هو الأمر الذي يعول عليه إلى حد كبير في حدوث التناقض والاختلاف في صفوف أولئك الذين يؤلفون الكتب التاريخية.

٢٤- غير أن هناك سببا ثانياً لابد من ذكره بالإضافة إلى ذلك (السبب الأول)؛ وهو أن أولئك الذين يتصدون للكتابة والتأليف ليسوا حريصين (دوماً) علي تحري الحقيقة، رغم أن هذا أمر تقضي به متطلبات مهنتهم، بل إنهم (بدلا من الحرص على تحرى الحقيقة) يحرصون (في المقام الأول) علي إظهار موهبتهم الأدبية.

٢٥- ثم إن كل واحد منهم يضع نصب عينيه أن يبز أقرانه الآخرين بكل وسيلة ممكنة، وبما يتناسب مع مقدرته وإمكاناته[١٦]: فبعضهم يتجه بكل طاقاته إلى الميثولوجيا (=الأساطير)، بينما يتجه البعض الآخر إلى نيل الحظوة عن طريق إغداق المديح وإهالة الثناء علي المدائن أو علي العواهل والملوك. وهناك آخرون منهم يكرسون أنفسهم لنقد المنجزات أو لإظهار أخطاء غيرهم من كتاب التاريخ، ظناً منهم أن اتباع مثل هذا المسلك كفيل بوصولهم إلى الشهرة وتحقيقهم للتفوق.

٢٦- قصارى القول، فإن هذا الذي يقومون به لا يحقق - على سبيل الإجمال - سوي العكس تماماً من هدف الكتابة التاريخية. ذلك أن برهان (جودة) الكتابة التاريخية الحقة هو إجماع من يكتبون أو يتحدثون من هؤلاء الكتاب كافة علي (حدوث) الأحداث نفسها أو الأفعال ذاتها. أما هؤلاء الذين يدونون تاريخهم عن الأحداث ذاتها بطريقة مخالفة، فإنهم علي الأرجح يعتقدون أن (ذلك المنهج) قد يظهرهم علي أنهم هم الأكثر التزاما بالصدق من دون الآخرين.

٢٧- وبالتالي، فإنه فيما يتعلق بالمهارة والموهبة (البلاغية)، فإن لنا أن نسلم - علي أية حال - للكتاب الإغريق بالقدح المعلي، غير أنه ليس هناك مبرر حقاً (يدفعنا إلى مثل هذا الاعتراف) بالنسبة إلى صدق الرواية التاريخية في مجال التاريخ القديم، وبخاصة حينما يتعلق الأمر بتاريخ كل أمة (من الأمم القديمة) علي حدة.

εἶναί φασι τοὺς ὑπὸ Δράκοντος αὐτοῖς περὶ τῶν φονικῶν[1] γραφέντας νόμους, ὀλίγῳ πρότερον τῆς Πεισιστράτου τυραννίδος ἀνθρώπου γεγονότος.
22 περὶ μὲν γὰρ Ἀρκάδων τί δεῖ[2] λέγειν αὐχούντων ἀρχαιότητα; μόλις γὰρ οὗτοι καὶ μετὰ ταῦτα γράμμασιν ἐπαιδεύθησαν.
23 (5) Ἅτε δὴ τοίνυν οὐδεμιᾶς προκαταβεβλημένης ἀναγραφῆς, ἣ καὶ τοὺς μαθεῖν βουλομένους διδάξειν ἔμελλε καὶ τοὺς ψευδομένους ἐλέγξειν, ἡ πολλὴ πρὸς ἀλλήλους ἐγένετο διαφωνία τοῖς συγγραφεῦσι.
24 δευτέραν δὲ πρὸς ταύτῃ θετέον ἐκείνην αἰτίαν· οἱ γὰρ ἐπὶ τὸ γράφειν ὁρμήσαντες οὐ περὶ τὴν ἀλήθειαν ἐσπούδασαν, καίτοι τοῦτο πρόχειρόν ἐστιν ἀεὶ τὸ ἐπάγγελμα, λόγων δὲ δύναμιν ἐπεδείκνυντο,
25 καὶ καθ' ὅντινα τρόπον ἐν τούτῳ παρευδοκιμήσειν τοὺς ἄλλους ὑπελάμβανον, κατὰ τοῦτον ἡρμόζοντο, τινὲς μὲν ἐπὶ τὸ μυθολογεῖν τρεπόμενοι, τινὲς δὲ πρὸς χάριν ἢ τὰς πόλεις ἢ τοὺς βασιλέας ἐπαινοῦντες· ἄλλοι δὲ ἐπὶ τὸ κατηγορεῖν τῶν πράξεων ἢ τῶν γεγραφότων ἐχώρησαν ἐνευδοκιμήσειν τούτῳ
26 νομίζοντες. ὅλως δὲ τὸ πάντων ἐναντιώτατον ἱστορίᾳ πράττοντες διατελοῦσι. τῆς μὲν γὰρ ἀληθοῦς ἐστι τεκμήριον ἱστορίας, εἰ περὶ τῶν αὐτῶν ἅπαντες ταὐτὰ καὶ λέγοιεν καὶ γράφοιεν· οἱ δ' εἰ ταὐτὰ γράψειαν ἑτέρως,[3] οὕτως ἐνόμιζον
27 αὐτοὶ φανεῖσθαι πάντων ἀληθέστατοι. λόγων μὲν οὖν ἕνεκα καὶ τῆς ἐν τούτοις δεινότητος δεῖ παραχωρεῖν ἡμᾶς τοῖς συγγραφεῦσι τοῖς Ἑλληνικοῖς, οὐ μὴν καὶ τῆς περὶ τῶν ἀρχαίων ἀληθοῦς ἱστορίας καὶ μάλιστά γε τῆς περὶ τῶν ἑκάστοις ἐπιχωρίων.

[1] *ed. pr.*: φοινίκων L Lat. Eus. [2] *ed. pr.*: δὴ L.
[3] εἰ μὴ τὰ αὐτὰ γράψ. ἑτέροις Eus.

٢٨- والحق إنني عازف عن الخوض في الحديث عن العناية الواجبة التي أولاها المصريون والبابليون منذ عصور سحيقة في القدم لسجلاتهم، حيث أسندت إدارة هذه المهمة والإشراف عليها والعناية بها (عند المصريين) إلى الكهنة، بينما أسندت لدي البابليين إلى الكلدانيين. وأما لدي الأمم التي احتكت بالإغريق علي وجه الخصوص، فإن الفينيقيين هم الذين استخدموا حقا الحروف الأبجدية فيما يتعلق بأمور تنظيم الحياة، وكذلك فيما يتصل بتسجيل أحداث الحياة العامة... وتلك أمور أجمع علي صحتها الكافة.

٢٩- ومع ذلك فإنني سأشرع الآن في أن أوضح وأبين باختصار أن نفس القدر من العناية الواجبة، بل بعناية أكثر مما سبق ذكره- ولعلني أسمح لنفسي بأن أصرح بهذا - قد اضطلع به أسلافنا (اليهود)، فيما يتعلق بإنشاء السجلات (الرسمية)، وهي مهمة أوكلوها للأحبار والأنبياء[١٧]. وإنه لمن نافلة القول أن أصرح بأن هذه السجلات قد ظلت محفوظة حتى عصرنا هذا بعناية واجبة ودقة فائقة، بل إنها - إن جاز لي أن اتجاسر في القول - سوف تبقي محفوظة علي هذا النحو علي الدوام.

الفصل السابع

٣٠- ولم يكتف (أجدادنا) منذ البدء بأن يقوم علي أمر هذه (السجلات) أفضل الناس طراً، وهم أولئك الذين يكرسون جل حياتهم لخدمة الرب، بل وضعوا نصب أعينهم وفي اعتبارهم أن تظل سلالة الأحبار نقية لا تشوبها شائبة أو يطرأ عليها دس[١٨].

٣١- إذ كان يتعين على من ينخرط في سلك الكهنوت أن ينجب أبناءه من زوجة من أرومته ذاتها[١٩]، وألا يلقي بالا أو يتطلع إلى مالها، أو إلى ما تحظى به من ميزات أخري، بل أن يتوخى الفحص الدقيق لسلسلة نسبها وسلالتها، عن طريق الحصول على شجرة عائلتها من السجلات المدونة[٢٠]، والتقدم بشهود عديدين علي (صحة) ذلك النسب.

obeikandi.com

28 (6) Ὅτι μὲν οὖν παρ' Αἰγυπτίοις τε καὶ Βαβυλωνίοις ἐκ μακροτάτων ἄνωθεν χρόνων τὴν περὶ τὰς ἀναγραφὰς ἐπιμέλειαν ὅπου μὲν οἱ ἱερεῖς ἦσαν ἐγκεχειρισμένοι καὶ περὶ ταύτας ἐφιλοσόφουν, Χαλδαῖοι δὲ παρὰ τοῖς Βαβυλωνίοις, καὶ ὅτι μάλιστα δὴ τῶν Ἑλλησιν ἐπιμιγνυμένων ἐχρήσαντο Φοίνικες γράμμασιν εἴς τε τὰς περὶ τὸν βίον οἰκονομίας καὶ πρὸς τὴν τῶν κοινῶν ἔργων παράδοσιν, ἐπειδὴ συγχωροῦσιν ἅπαντες, ἐάσειν μοι δοκῶ.
29 περὶ δὲ τῶν ἡμετέρων προγόνων ὅτι τὴν αὐτήν, ἐῶ γὰρ λέγειν εἰ καὶ πλείω τῶν εἰρημένων, ἐποιήσαντο περὶ τὰς ἀναγραφὰς ἐπιμέλειαν, τοῖς ἀρχιερεῦσι καὶ τοῖς προφήταις τοῦτο προστάξαντες, καὶ ὡς μέχρι τῶν καθ' ἡμᾶς χρόνων πεφύλακται μετὰ πολλῆς ἀκριβείας, εἰ δὲ ‹δεῖ›[1] θρασύτερον εἰπεῖν καὶ φυλαχθήσεται, πειράσομαι συντόμως διδάσκειν.
30 (7) Οὐ γὰρ μόνον ἐξ ἀρχῆς ἐπὶ τούτων[2] τοὺς ἀρίστους καὶ τῇ θεραπείᾳ τοῦ θεοῦ προσεδρεύοντας κατέστησαν, ἀλλ' ὅπως τὸ γένος τῶν ἱερέων ἄμικτον
31 καὶ καθαρὸν διαμενεῖ προυνόησαν. δεῖ γὰρ τὸν μετέχοντα τῆς ἱερωσύνης ἐξ ὁμοεθνοῦς γυναικὸς παιδοποιεῖσθαι καὶ μὴ πρὸς χρήματα μηδὲ τὰς ἄλλας ἀποβλέπειν τιμάς, ἀλλὰ τὸ γένος ἐξετάζειν ἐκ τῶν ἀρχείων[3] λαμβάνοντα τὴν διαδοχὴν καὶ
32 πολλοὺς παρεχόμενον μάρτυρας. καὶ ταῦτα πράτ-

[1] ins. Gutschmid from the Lat.
[2] τούτῳ Niese.
[3] Gutschmid: ἀρχαίων L.

٣٢- ولم يكن دأبنا هو اتباع هذه العادة المتوارثة فقط في **أرض يهوذا** وحدها، بل (حافظنا عليها) حيثما وجدت جالية يهودية من بني جلدتنا، وعضَّ عليها الأحبار هناك بالنواجذ، وراعوها بمنتهي الدقة والإحكام عند شروعهم في الزواج.

٣٣- وأعني بذلك (اليهود) من بني جلدتي في كل من مصر وبابل، أو في أي مكان آخر من أرجاء المعمورة يعيش فيه نفر من أرومة الأحبار في أرض الشتات. إذ (جرى العرف) على أنهم كانوا يدونون كتاباً ويبعثون به إلى أورشليم، ويذكرون فيه اسم الزوجة المراد الاقتران بها، واسم والدها وأجدادها البعيدين مع أسماء الشهود علي ذلك.

٣٤- وكان العرف السائد، حينما تنشب الحرب أو يستعر أوارها، مثلما حدث حينما قام **أنطيوخوس إبيفانيس**، ومن بعده **بومبي الكبير**، ثم **كوينتيليوس فاروس** بغزو بلادنا، ومثلما هو حادث بوجه خاص في أيامنا هذه.

٣٥- كان هذا العرف السائد يقضي بأن يشرع من بقوا علي قيد الحياة من أحبارنا بتجميع سجلات جديدة وإنشائها من الأرشيف (الرسمي). كذلك كانوا يضاهون ويدققون ويفحصون (سلالة) النساء الباقيات (على قيد الحياة ويتحققون من نسبهن)، ويحظرون - بناء علي ذلك - الزواج من النساء اللائي وقعن في الأسر أو اتخذن سبايا، تشككا منهم في أن يكن قد أقمن (تحت ضغط الأسر) علاقة غير مشروعة مع رجال من جنس أجنبي آخر (غير يهودي)[٢١].

٣٦- وأكبر دليل علي هذه الدقة (الفائقة) هو أن أسماء الحاخامات من بني جلدتنا مدونة في سجلاتنا (الرسمية) منذ ألفي عام، جنباً إلى جنب مع أسماء آبائهم وأبنائهم وفق تسلسل زمني وثيق[٢٢]. كما أن من ينتهك حرمة هذه القوانين المذكورة أو يخرج عليها، يحرم من مزاولة الطقوس الدينية في المذابح، ولا يسمح له بالاشتراك في أية شعيرة مقدسة.

٣٧- وتأسيساً علي ذلك، فقد غدا من الطبيعي، أو بالأحرى من الحتمي - طالما أنه ليس مسموحاً للناس كافة أن يقوموا بتدوين السجلات، وطالما أنه لا مجال هناك للتناقض والاختلاف في السجلات المدونة، وطالما أن ذلك الحق كان مباحاً

τομεν οὐ μόνον ἐπ' αὐτῆς Ἰουδαίας, ἀλλ' ὅπου ποτὲ σύστημα τοῦ γένους ἐστὶν ἡμῶν κἀκεῖ τὸ ἀκριβὲς ἀποσώζεται τοῖς ἱερεῦσι περὶ τοὺς γάμους·
33 λέγω δὲ τοὺς ἐν Αἰγύπτῳ καὶ Βαβυλῶνι καὶ εἴ που τῆς ἄλλης οἰκουμένης τοῦ γένους τῶν ἱερέων εἰσί τινες διεσπαρμένοι. πέμπουσι γὰρ εἰς Ἱεροσόλυμα συγγράψαντες πατρόθεν τοὔνομα τῆς τε γαμετῆς[1] καὶ τῶν ἐπάνω προγόνων καὶ τίνες οἱ
34 μαρτυροῦντες. πόλεμος δ' εἰ κατάσχοι, καθάπερ ἤδη γέγονε πολλάκις, Ἀντιόχου τε τοῦ Ἐπιφανοῦς εἰς τὴν χώραν ἐμβαλόντος καὶ Πομπηίου Μάγνου καὶ Κυντιλίου Οὐάρου μάλιστα δὲ καὶ ἐν
35 τοῖς καθ' ἡμᾶς χρόνοις, οἱ περιλειπόμενοι τῶν ἱερέων καινὰ πόλιν ἐκ τῶν ἀρχείων γράμματα[2] συνίστανται καὶ δοκιμάζουσι τὰς ὑπολειφθείσας γυναῖκας. οὐ γὰρ ἔτι[3] τὰς αἰχμαλώτους γενομένας προσίενται πολλάκις γεγονυῖαν αὐταῖς τὴν πρὸς
36 ἀλλόφυλον κοινωνίαν ὑφορώμενοι. τεκμήριον δὲ μέγιστον τῆς ἀκριβείας· οἱ γὰρ ἀρχιερεῖς οἱ παρ' ἡμῖν ἀπὸ δισχιλίων ἐτῶν ὀνομαστοὶ παῖδες ἐκ πατρός εἰσιν ἐν ταῖς ἀναγραφαῖς. τοῖς δὲ τῶν εἰρημένων ὁτιοῦν παραβᾶσιν[4] ἀπηγόρευται μήτε τοῖς βωμοῖς παρίστασθαι μήτε μετέχειν τῆς ἄλλης ἁγιστείας.
37 Εἰκότως οὖν, μᾶλλον δὲ ἀναγκαίως, ἅτε μήτε τοῦ γράφειν[5] αὐτεξουσίου πᾶσιν ὄντος μήτε τινὸς ἐν τοῖς γραφομένοις ἐνούσης διαφωνίας, ἀλλὰ

[1] τῆς τε γαμετῆς Niese (Lat. *uxoribus*): τῆς γεγραμμένης L: τῶν γειναμένων *edd. pr.*
[2] ἀρχείων γράμματα Gutschmid: ἀρχαίων γραμμάτων L.
[3] *edd. pr.*: ἐπὶ L.
[4] παραβᾶσιν Niese (after Lat.): γένοιτο εἰς παράβασιν L.
[5] Niese: τὸ (τοῦ *edd. pr.*) ὑπογράφειν L.

للأنبياء وحدهم دون سواهم، حيث بات مخولاً لهم تلقي المعرفة عن أكثر عصور تاريخنا إيغالاً في القدم والعراقة، من خلال الإلهام أو الوحي الذي يتنزل عليهم من لدن الرب، وطالما أنهم كانوا يقومون بتدوين الأحداث التي حدثت علي عهدهم كما حدثت بالفعل وفي الواقع.

الفصل الثامن

٣٨- فقد صار من المحتم بناء علي ذلك كله أنه لم يعد في حوزتنا آلافا مؤلفة من الكتب والمؤلفات التي تتناقض فيما بينها، أو التي تشن طائفة منها الهجوم علي طائفة أخرى وتتناحر معها. كما ترتب على ذلك أن ما بقي في حوزتنا من الكتب الموثوق في صحتها ودقتها، لا يزيد بحال من الأحوال عن اثنين وعشرين سفراً تحتوي علي تاريخ أمتنا القديم بحذافيره.

٣٩- ومن هذه الأسفار (المذكورة)، نجد أسفار **موسي** (عليه السلام) الخمسة[٢٣]، التي تحتوي علي القوانين والشرائع وعلي تاريخ البشرية وتراثها، منذ ظهور الإنسان حتى انتقال **موسي** (عليه السلام) إلى الرفيق الأعلى؛ ويبلغ امتداد هذه الفترة الزمنية ما يقرب من ثلاثة آلاف سنة أو أقل قليلاً.

٤٠- ومنذ وفاة **موسي** (عليه السلام) حتى (عصر) **أرتاكسيركسيس**[٢٤] الذي خلف **اجزركسيس**، ملك الفرس، دوَّن الأنبياء الذين أرسلوا بعد **موسى** (عليه السلام) تاريخ الأحداث التي وقعت في عصر كل منهم في ثلاثة عشر سفراً[٢٥]. أما الأسفار الأربعة الباقية[٢٦] فهي تحتوي على **أناشيد** (= **مزامير**) للرب، ووصايا وتعاليم (لإصلاح) سلوك البشر في حياتهم.

٤١- ومنذ (عصر) **أرتاكسركسيس** حتى أيامنا هذه تم تدوين كل أسفارنا، ولكنها لم تحظ منا جميعها بنفس القدر من الثقة المستحقة والواجبة، الذي حظيت به الأسفار الأقدم (= أسفار **موسى** عليه السلام)، بسبب ما طرأ على تسلسل الأنبياء من الدقة (والتوثيق الصحيح).

٤٢- من الواضح إذن أننا أنزلنا هذه الكتابات (المقدسة) من أنفسنا منزلة الاحترام والتقديس[٢٧] حقاً وصدقاً، فرغم انقضاء كل تلك الحقبة الزمنية الطويلة لم يتجاسر واحد منا أن يمد إليها يده سواء بالإضافة أو بالحذف[٢٨]، أو بالتغيير والتعديل حتى في النذر القليل. كما أن اليهود على بكرة أبيهم قد فطروا، منذ اليوم

μόνων τῶν προφητῶν τὰ μὲν ἀνωτάτω καὶ παλαιότατα κατὰ τὴν ἐπίπνοιαν τὴν ἀπὸ τοῦ θεοῦ μαθόντων, τὰ δὲ καθ' αὑτοὺς ὡς ἐγένετο σαφῶς συγ-
38 γραφόντων, (8) οὐ μυριάδες βιβλίων εἰσὶ παρ' ἡμῖν ἀσυμφώνων καὶ μαχομένων, δύο δὲ μόνα πρὸς τοῖς εἴκοσι βιβλία τοῦ παντὸς ἔχοντα χρόνου τὴν
39 ἀναγραφήν, τὰ δικαίως[1] πεπιστευμένα. καὶ τούτων πέντε μέν ἐστι τὰ Μωυσέως, ἃ τούς τε νόμους περιέχει καὶ τὴν ἀπ' ἀνθρωπογονίας παράδοσιν μέχρι τῆς αὐτοῦ τελευτῆς· οὗτος ὁ χρόνος �απο-
40 λείπει τρισχιλίων ὀλίγον ἐτῶν. ἀπὸ δὲ τῆς Μωυσέως τελευτῆς μέχρις[2] Ἀρταξέρξου τοῦ μετὰ Ξέρξην Περσῶν βασιλέως οἱ μετὰ Μωυσῆν προφῆται τὰ κατ' αὐτοὺς πραχθέντα συνέγραψαν ἐν τρισὶ καὶ δέκα βιβλίοις. αἱ δὲ λοιπαὶ τέσσαρες ὕμνους εἰς τὸν θεὸν καὶ τοῖς ἀνθρώποις ὑποθήκας
41 τοῦ βίου περιέχουσιν. ἀπὸ δὲ Ἀρταξέρξου μέχρι τοῦ καθ' ἡμᾶς χρόνου γέγραπται μὲν ἕκαστα, πίστεως δ' οὐχ ὁμοίας ἠξίωται τοῖς πρὸ αὐτῶν διὰ τὸ μὴ γενέσθαι τὴν τῶν προφητῶν ἀκριβῆ διαδοχήν.
42 Δῆλον δ' ἐστὶν ἔργῳ πῶς ἡμεῖς πρόσιμεν τοῖς ἰδίοις γράμμασι·[3] τοσούτου γὰρ αἰῶνος ἤδη παρῳχηκότος οὔτε προσθεῖναί τις οὐδὲν οὔτε

[1] + θεῖα Eus.
[2] μεχρὶς (after Lat.) Gutschmid: μεχρὶ τῆς L.
[3] προσίμεν . . . γράμμασι Eus.: τοῖς ἰδίοις γράμμασι πεπιστεύκαμεν L Lat.

الذي ولدوا فيه ومنذ نعومة أظفارهم، على اعتبار هذه الأسفار بمثابة عقائد من لدن رب (العالمين)، وعلي طاعتها والانصياع لها، وعلى ملاقاة الموت برضى واغتباط - لو لزم الأمر - في سبيل حمايتها والذود عنها.

٤٣- وحتى هذه اللحظة الحاضرة لا نفتأ نشهد بأعيننا مراراً وتكراراً مظاهر التعذيب التي يلاقيها الأسرى منا، وصنوف الموت وألوانه التي يتعرضون لها في ساحات المسارح، ومع ذلك يتحملون (أهوالها) بغير أن تنطق شفاههم بلفظة واحدة تسئ إلى شرائعنا وقوانيننا، أو إلى السجلات والأسفار التي دونت هذه القوانين في متونها[٢٩].

٤٤- فمن من الأغارقة يمكنه أن يتحمل مثل هذا القدر (من العسف) في سبيل (الحفاظ على) سجلات تاريخه، رغم أنه من الواضح والجلي أنه لن يقدر له أن يجابه أي قدر من الضرر والأذى، في سبيل الحفاظ على كل سجلات تاريخه من الزوال والاندثار؟

٤٥- ذلك أن (الإغريق) يعتقدون (أن تاريخهم) ما هو إلا قصص اختلقها أو ارتجلها الكتاب، وفقا لما كانت تجود به قرائحهم أو تمليه رغباتهم عليهم. وهم - فيما يبدو- علي حق في ذلك الاعتقاد حتى فيما يتعلق بمؤرخيهم الأقدمين، حيث إنهم كانوا يرون بأعينهم نفراً من المعاصرين لهم تواتيهم الجراة على تدوين الأحداث التاريخية، رغم أنهم لم يشاركوا فيها من قريب أو من بعيد، ودون أن يتجشموا عناء استقاء المعلومات عنها من العارفين بها والمتمرسين[٣٠].

٤٦- فما بالنا بنفر (من الأدعياء)، دونوا كتباً عن تاريخ الحرب التي لا تزال دائرة حاليا بين ظهرانينا، وقاموا بنشرها رغم أنهم لم يقتربوا من مواقعها، ولم يكونوا قط قريبين من الأحداث التي وقعت خلالها، بل صاغوا ما كتبوه من خلال الروايات الشفاهية القليلة التي تناهت إلى أسماعهم، ثم تجاسروا بعدها ليتشدقوا بملء أفواههم وبكل وقاحة- كما لو كانوا من السكارى الذين فقدوا الوعي- معلنين أن هذه الكتب تحمل عنوان التاريخ[٣١].

الفصل التاسع

٤٧- وفيما يتعلق بي فإنني قد دونت - على خلاف هؤلاء - مؤلفا مفصلاً ينضح بالصدق عن الحرب بمراحلها كافة وما جرى فيها، حيث إنني عايشتها وكنت حاضراً بشخصي في جميع أحداثها.

٤٨- ذلك أنني كنت أتولي قيادة من نطلق عليهم في ديارنا اسم أهل الجليل - طوال المدة التي كان استمرار المقاومة فيها (من جانبنا ممكناً) - إلى أن ألقى

ἀφελεῖν αὐτῶν οὔτε μεταθεῖναι τετόλμηκεν, πᾶσι δὲ σύμφυτόν ἐστιν εὐθὺς ἐκ τῆς πρώτης γενέσεως Ἰουδαίοις τὸ νομίζειν[1] αὐτὰ θεοῦ δόγματα καὶ τούτοις ἐμμένειν καὶ ὑπὲρ αὐτῶν, εἰ δέοι, θνήσκειν
43 ἡδέως. ἤδη οὖν πολλοὶ πολλάκις ἑώρανται τῶν αἰχμαλώτων στρέβλας καὶ παντοίων θανάτων τρόπους ἐν θεάτροις ὑπομένοντες ἐπὶ τῷ μηδὲν ῥῆμα προέσθαι παρὰ τοὺς νόμους καὶ τὰς μετὰ τούτων ἀναγραφάς.
44 Ὅ τίς ἂν ὑπομείνειεν Ἑλλήνων ὑπὲρ ‹τῶν› αὐτοῦ; ἀλλ' οὐδ' ὑπὲρ τοῦ καὶ πάντα τὰ παρ' αὐτοῖς ἀφανισθῆναι συγγράμματα τὴν τυχοῦσαν
45 ὑποστήσεται βλάβην· λόγους γὰρ αὐτὰ νομίζουσιν εἶναι κατὰ τὴν τῶν γραψάντων βούλησιν ἐσχεδιασμένους. καὶ τοῦτο δικαίως καὶ περὶ τῶν παλαιοτέρων φρονοῦσιν, ἐπειδὴ καὶ τῶν νῦν ἐνίους ὁρῶσι τολμῶντας περὶ τούτων συγγράφειν, οἷς μήτ' αὐτοὶ παρεγένοντο μήτε πυθέσθαι παρὰ
46 τῶν εἰδότων ἐφιλοτιμήθησαν. ἀμέλει καὶ περὶ τοῦ γενομένου νῦν ἡμῖν πολέμου τινὲς ἱστορίας ἐπιγράψαντες ἐξενηνόχασιν οὔτ' εἰς τοὺς τόπους παραβαλόντες οὔτε πλησίον τούτων πραττομένων προσελθόντες, ἀλλ' ἐκ παρακουσμάτων ὀλίγα συνθέντες τῷ τῆς ἱστορίας ὀνόματι λίαν ἀναιδῶς ἐνεπαροίνησαν.
47 (9) Ἐγὼ δὲ καὶ περὶ τοῦ πολέμου παντὸς καὶ περὶ τῶν ἐν αὐτῷ[2] κατὰ μέρος γενομένων ἀληθῆ τὴν ἀναγραφὴν ἐποιησάμην τοῖς πράγμασιν αὐτὸς
48 ἅπασι παρατυχών. ἐστρατήγουν μὲν γὰρ τῶν παρ' ἡμῖν Γαλιλαίων ὀνομαζομένων ἕως ἀντέχειν δυνα-

[1] τὸ νομίζειν Eus.: ὀνομάζειν L Lat.
[2] ἐν αὐτῷ ed. pr.: αὐτῷ L: ibi (=αὐτοῦ) Lat.

الرومان القبض عليَّ واتخذوني أسيراً[٣٢]. ثم ألقى بي كل من الإمبراطور **فسباسيانوس** والإمبراطور **تيتوس** في غياهب السجن، وألزموني بعدها بالبقاء تحت المراقبة الدائمة لهم. وكنت (أثناء هذه المراقبة) أرسف في مبدأ الأمر في الأغلال؛ ثم من بعد أن أطلق سراحي[٣٣] سافرت من الإسكندرية في رفقة الإمبراطور **تيتوس** (الذي كان متوجهاً) لحصار مدينة **أورشليم**[٣٤].

٤٩- وخلال تلك الفترة لم تغب عن معرفتي أية حادثة مما دار من أحداث، ذلك أنني دونت بعناية كل ما شاهدته بعيني رأسي من أحداث في المعسكر الروماني، وكنت وحدي القادر على فهم المعلومات التي كان يدلي بها الذين هربوا (من **أورشليم** ولاذوا بكنف الرومان).

٥٠- فمن خلال وقت الفراغ الذي أتيح لي في مدينة روما، ومن خلال ما تم تزويدي به من المواد والتجهيزات كافة، وعن طريق الاستعانة بعدد من المساعدين من أجل (إجادة التعبير) باللغة اليونانية، استطعت أن أنجز تدوين تاريخ هذه الأحداث علي هذا النحو. ولقد بلغت ثقتي في صدق (روايتي التاريخية) حداً وانتني فيه الجسارة كي أتخذ شهوداً على ذلك- وقبل جميع الآخرين- قائديْ هذه الحرب ذاتها، الإمبراطورين **فسباسيانوس وتيتوس**[٣٥].

٥١- وكان هذان الإمبراطوران هما أول الأشخاص الذين أهديتهم مؤلفاتي، التي أهديت نسخاً منها بعد ذلك لكثير من الرومان الذين خاضوا غمار هذه الحرب (مع الأباطرة)؛ كما أنني قمت ببيع[٣٦] نسخ أخرى إلى عدد كبير من بني جلدتي (اليهود)، وهم رجال متبحرون في الثقافة اليونانية، أذكر من بينهم: **يوليوس أرخيلاؤوس**[٣٧]، والمبجل جدا **هيروديس**[٣٨]، ومليكنا **أجريبا** ذاته الجدير بفائق الإعجاب[٣٩].

٥٢- ولقد شهد هؤلاء على بكرة أبيهم بأنني قد تحريت الصدق، وبذلت العناية الواجبة في أن أضع الصدق نصب عينيْ، رغم أنهم ليسوا من ذلك الطراز من الرجال الذين قد يخفون (مشاعرهم)، أو يلوذون بأهداب الصمت، فيما لو (اكتشفوا) أنني انزلقت إلى تبديل أي من الأحداث أو حذفها، نتيجة لجهلي أو منساقا وراء مشاعر انحياز أو مجاملة.

τὸν ἦν, ἐγενόμην δὲ παρὰ Ῥωμαίοις συλληφθεὶς αἰχμάλωτος καί με διὰ φυλακῆς Οὐεσπασιανὸς καὶ Τίτος ἔχοντες ἀεὶ προσεδρεύειν αὐτοῖς ἠνάγκασαν, τὸ μὲν πρῶτον δεδεμένον, αὖθις δὲ λυθεὶς συνεπέμφθην ἀπὸ τῆς Ἀλεξανδρείας Τίτῳ πρὸς
49 τὴν Ἱεροσολύμων πολιορκίαν. ἐν ᾧ χρόνῳ[1] τῶν πραττομένων οὐκ ἔστιν ὃ τὴν ἐμὴν γνῶσιν διέφυγεν· καὶ γὰρ τὰ κατὰ τὸ στρατόπεδον τὸ Ῥωμαίων ὁρῶν ἐπιμελῶς ἀνέγραφον καὶ τὰ παρὰ τῶν αὐτο-
50 μόλων ἀπαγγελλόμενα μόνος αὐτὸς συνίειν. εἶτα σχολῆς ἐν τῇ Ῥώμῃ λαβόμενος, πάσης μοι τῆς πραγματείας ἐν παρασκευῇ γεγενημένης, χρησάμενός τισι πρὸς τὴν Ἑλληνίδα φωνὴν συνεργοῖς, οὕτως ἐποιησάμην τῶν πράξεων τὴν παράδοσιν. τοσοῦτον δέ μοι περιῆν θάρσος τῆς ἀληθείας ὥστε πρώτους πάντων τοὺς αὐτοκράτορας τοῦ πολέμου γενομένους Οὐεσπασιανὸν καὶ Τίτον ἠξίωσα λαβεῖν
51 μάρτυρας. πρώτοις γὰρ ἔδωκα[2] τὰ βιβλία καὶ μετ' ἐκείνους πολλοῖς μὲν Ῥωμαίων τοῖς συμπεπολεμηκόσι, πολλοῖς δὲ τῶν ἡμετέρων ἐπίπρασκον, ἀνδράσι καὶ τῆς Ἑλληνικῆς σοφίας μετεσχηκόσιν, ὧν ἐστιν Ἰούλιος Ἀρχέλαος, Ἡρώδης ὁ σεμνότατος, αὐτὸς ὁ θαυμασιώτατος βασιλεὺς
52 Ἀγρίππας. οὗτοι μὲν οὖν ἅπαντες ἐμαρτύρησαν ὅτι τῆς ἀληθείας προύστην ἐπιμελῶς, οὐκ ἂν ὑποστειλάμενοι καὶ σιωπήσαντες, εἴ τι κατ' ἄγνοιαν ἢ χαριζόμενος μετέθηκα τῶν γεγονότων ἢ παρέλιπον.

[1] + γενομένην L (om. Lat.).
[2] Niese: δέδωκα L.

الفصل العاشر

٥٣- وبالرغم من ذلك، فقد انبرى أشخاص يتصفون بالخسة والدناءة، محاولين أن يشوهوا سمعتي وأن ينالوا من مؤلفي التاريخي، وكأنهم يتصورون أنه (مجرد) تدريب يتمرن عليه (التلاميذ) الصغار في المدرسة[٤٠]، أو يعتبرون أنه موضع اتهام خطير، أو مثار افتراء ليس له نظير. وكان حرياً بهم أن يعلموا أنه يجدر بمن يَعِدُ سواه من الناس بأنه (سوف يزودهم) بالحقائق التي لا يأتيها الباطل من بين يديها ولا من خلفها، أن يكون هو نفسه مُلماً بها قبل ذلك إلماماً لا تشوبه شائبة، سواء عن طريق معاينة الأحداث ومعايشتها، أو من خلال تقصي أخبارها والاستفسار عنها من العارفين بها.

٥٤- وإني لأعتقد حقا أنني قد أنجزت كِلا الأمرين المذكورين - وأوفيت بهما في أعمالي التاريخية: ففي مؤلفي عن: **الآثار (اليهودية) القديمة** - كما ذكرت آنفاً - قمت بالترجمة عن كتبنا المقدسة[٤١]، وحيث إنني حبر ومنحدر من سلالة أحبار فإنني على دراية بكنه هذه الكتب وعلى معرفة بفلسفتها[٤٢].

٥٥- أما فيما يتعلق بمؤلفي التاريخي، فإنني دونته بوصفي صانع قرار لكثير من الأحداث، وبوصفي شاهد عيان على معظمها؛ وعلى وجه الإجمال فليس ثمة شيء يمكن لإنسان قوله أو فعله ولم أكن على علم به.

٥٦- فخبروني إذن بربكم: كيف يمكن للمرء (أن يكبح جماح رغبته) في نعت أمثال هؤلاء الناس بالقحة والتجاسر، بعد أن حاولوا ما وسعتهم المحاولة أن يتحدوني وأن يشككوا - كبرت كلمة تخرج من أفواههم- في مدى التزامي بالصدق؟ وحتى لو افترضنا جدلاً أنهم- على حد زعمهم- قد قرأوا مذكرات (الأباطرة عن هذه الأحداث)[٤٣]، فهل كانت لديهم حقا وسيلة توصلهم إلى معرفة الأحداث التي دارت في ساحة المعسكر المعادي لهم مثلما كان (متاحاً) لي؟

الفصل الحادي عشر

٥٧- وبعد ... لقد انسقت وراء رغبتي في فضح مزاعم هؤلاء الذين يزعمون أنهم يؤلفون كتباً تاريخية، وإظهار نزقهم وطيشهم واستخفافهم، فخرجت عن سياق موضوعي الأساسي.

53 (10) Φαῦλοι δέ τινες ἄνθρωποι διαβάλλειν μου τὴν ἱστορίαν ἐπικεχειρήκασιν ὥσπερ ἐν σχολῇ μειρακίων γύμνασμα προκεῖσθαι νομίζοντες, κατηγορίας παραδόξου καὶ διαβολῆς, δέον ἐκεῖνο γιγνώσκειν, ὅτι δεῖ τὸν ἄλλοις παράδοσιν πράξεων ἀληθινῶν ὑπισχνούμενον αὐτὸν ἐπίστασθαι ταύτας πρότερον ἀκριβῶς, ἢ παρηκολουθηκότα τοῖς γεγονόσιν ἢ
54 παρὰ τῶν εἰδότων πυνθανόμενον. ὅπερ ἐγὼ μάλιστα περὶ ἀμφοτέρας νομίζω πεποιηκέναι τὰς πραγματείας. τὴν μὲν γὰρ ἀρχαιολογίαν, ὥσπερ ἔφην, ἐκ τῶν ἱερῶν γραμμάτων μεθηρμήνευκα γεγονὼς ἱερεὺς ἐκ γένους καὶ μετεσχηκὼς τῆς
55 φιλοσοφίας τῆς ἐν ἐκείνοις τοῖς γράμμασι· τοῦ δὲ πολέμου τὴν ἱστορίαν ἔγραψα πολλῶν μὲν αὐτουργὸς πράξεων, πλείστων δ' αὐτόπτης γενόμενος, ὅλως δὲ τῶν λεχθέντων ἢ πραχθέντων
56 οὐδ' ὁτιοῦν ἀγνοήσας. πῶς οὖν οὐκ ἂν θρασεῖς τις ἡγήσαιτο τοὺς ἀνταγωνίζεσθαί μοι περὶ τῆς ἀληθείας ἐπικεχειρηκότας, οἳ κἂν τοῖς τῶν αὐτοκρατόρων ὑπομνήμασιν ἐντυχεῖν λέγωσιν, ἀλλ' οὔ γε καὶ τοῖς ἡμετέροις τῶν ἀντιπολεμούντων πράγμασι παρέτυχον;

57 (11) Περὶ μὲν οὖν τούτων ἀναγκαίαν ἐποιησάμην τὴν παρέκβασιν ἐπισημήνασθαι βουλόμενος τῶν ἐπαγγελλομένων τὰς ἱστορίας συγγράφειν τὴν εὐ-
58 χέρειαν. ἱκανῶς δὲ φανερόν, ὡς οἶμαι, πεποιηκὼς

٥٨- ولكن حيث إنني قد أوضحت بما فيه الكفاية- حسب ما أتصور - أن الاحتفاظ بسجلات عن التاريخ القديم كان عادة سائدة بين غير اليونانيين[٤٤] أكثر من انتشارها بين الإغريق، فإن مرامي - في المقام الأول[٤٥] - هو أن أرد بإيجاز على هؤلاء الذين جاهدوا من أجل إثبات حداثة عهدنا بالحضارة - حسب زعمهم- استناداً إلى عدم ذكر المؤلفات التاريخية الإغريقية (لحضارة جنسنا).

٥٩- ثم إنني من بعد ذلك سوف[٤٦] أقدم براهيناً وأدلة تشهد على عراقة تاريخنا، من مؤلفات الآخرين عنا، ولسوف ألقي الضوء (في خاتمة المطاف)[٤٧] على الترهات والمزاعم التي أطلقها هؤلاء المفترون المرجفون بغير حق ولا منطق ضد جنسنا.

الفصل الثاني عشر

٦٠- حسناً!! إن (بلدنا) الذي نعيش فيه ليس بلداً بحرياً (أي يقع على ساحل البحر)، ولسنا نحظى بالتجارة أو بعلاقات اختلاط مع الآخرين في مجال التبادل التجاري. ولكن مدننا قد أسست بعيداً عن ساحل البحر، ونحن نكرس كل جهدنا لزراعة هذا البلد (ذي الرزق) الطيب الذي حظينا بامتلاكه. كما أننا على وجه الخصوص نزهو ونفاخر بتربية أبنائنا وتعليمهم فوق كل أمر آخر، واضعين نصب أعيننا أن تكون طاعة القوانين ومراعاتها، وإظهار الورع والتقوى تجاه ما توارثناه من شرائعنا، تصرفاً يحظى بأشد أنواع الالتزام في كل مراحل حياتنا.

٦١- ولو أضفنا كذلك إلى ما سبق ذكره، ما يتميز به أسلوب حياتنا من غرابة أطوار وتفرد، فلن توجد هناك رابطة من نوع ما تجمع بيننا في علاقة مع الإغريق إبان العصور القديمة، مثلما كان للمصريين بفضل صادراتهم وارداتهم، أو مثلما كان لسكان ساحل فينيقيا البحري بفضل ما أولوه من اهتمام لأمور التبادل والتجارة، وبسبب حرصهم الشديد على (اقتناء) المال.

٦٢- والحق أن أسلافنا لم يولوا وجوههم إطلاقاً شطر القرصنة[٤٨] - مثلما فعل آخرون سواهم- لا ... ولم يمتهنوا حرفة الحرب ويجعلونها مناط اهتمامهم أو جل همهم، رغم أن بلادهم كانت تزخر بعشرات الألوف من الرجال الذين لا يفتقرون إلى البسالة والإقدام.

ὅτι πάτριός ἐστιν ἡ περὶ τῶν παλαιῶν ἀναγραφὴ
τοῖς βαρβάροις μᾶλλον ἢ τοῖς Ἕλλησι, βούλομαι
μικρὰ πρότερον διαλεχθῆναι πρὸς τοὺς ἐπιχειροῦν-
τας νέαν ἡμῶν ἀποφαίνειν τὴν κατάστασιν ἐκ τοῦ
μηδὲν περὶ ἡμῶν, ὡς φασιν ἐκεῖνοι, λελέχθαι παρὰ
59 τοῖς Ἑλληνικοῖς συγγραφεῦσιν. εἶτα δὲ τὰς μαρ-
τυρίας τῆς ἀρχαιότητος ἐκ τῶν παρ' ἄλλοις γραμ-
μάτων παρέξω καὶ τοὺς βεβλασφημηκότας ἡμῶν
τὸ γένος ἀποδείξω λίαν ἀλόγως[1] βλασφημοῦντας.
60 (12) Ἡμεῖς τοίνυν οὔτε χώραν οἰκοῦμεν παράλιον
οὔτ' ἐμπορίαις χαίρομεν οὐδὲ ταῖς πρὸς ἄλλους διὰ
τούτων ἐπιμιξίαις, ἀλλ' εἰσὶ μὲν ἡμῶν αἱ πόλεις
μακρὰν ἀπὸ θαλάσσης ἀνῳκισμέναι, χώραν δὲ
ἀγαθὴν νεμόμενοι ταύτην ἐκπονοῦμεν, μάλιστα δὴ
πάντων περὶ παιδοτροφίαν φιλοκαλοῦντες καὶ
τὸ φυλάττειν τοὺς νόμους καὶ τὴν κατὰ τούτους
παραδεδομένην εὐσέβειαν ἔργον ἀναγκαιότατον
61 παντὸς τοῦ βίου πεποιημένοι. προσούσης τοίνυν
τοῖς εἰρημένοις καὶ τῆς περὶ τὸν βίον ἡμῶν ἰδιό-
τητος οὐδὲν[2] ἐν τοῖς παλαιοῖς χρόνοις[3] ποιοῦν ἡμῖν
πρὸς τοὺς Ἕλληνας ἐπιμιξίαν, ὥσπερ Αἰγυπτίοις
μὲν τὰ παρ' αὐτῶν ἐξαγόμενα καὶ πρὸς αὐτοὺς
εἰσαγόμενα, τοῖς δὲ τὴν παράλιον τῆς Φοινίκης
κατοικοῦσιν ἡ περὶ τὰς καπηλείας καὶ περὶ τὰς
62 ἐμπορίας σπουδὴ διὰ τὸ φιλοχρηματεῖν. οὐ μὴν
οὐδὲ πρὸς λῃστείας, ὥσπερ ἄλλοι τινές, ἢ τὸ
πλέον ἔχειν ἀξιοῦν πολεμοῦντες[4] ἐτράπησαν ἡμῶν
οἱ πατέρες, καίτοι πολλὰς τῆς χώρας ἐχούσης
63 μυριάδας ἀνδρῶν οὐκ ἀτόλμων. διὰ τοῦτο Φοίνικες
μὲν αὐτοὶ κατ' ἐμπορίαν τοῖς Ἕλλησιν ἐπεισπλέον-

[1] ἀλόγως Hudson: ἐν τοῖς λόγοις L. [2] + ἦν *ed. pr.*
[3] + τὸ *ed. pr.* [4] ἀξιοῦντες πρὸς πολέμους Lat. (apparently).

٦٣- ولقد عُرف **الفينيقيون** منذ البدء بصفاتهم المميزة هذه لدى الإغريق عندما أبحروا إليهم بغرض التجارة، كما غدا **المصريون** معروفين عبر العالم عن طريق (**الفينيقيين**)، وكان هذا أمر كل الشعوب التي اعتاد **الفينيقيون** أن يروجوا بضائعها، وأن يحملوا سلعها عبر البحار الشاسعة إلى (بلاد) الإغريق.

٦٤- وفي فترة زمنية لاحقة غدا كل من **الميديين والفرس** معروفين ومعلومين، عندما هيمنوا علي (ربوع) آسيا وبسطوا سلطانهم عليها، وكان **الفرس** علي وجه الخصوص هم الذين قاموا بغزو قارة أخرى (مجاورة). أما **الثراقيون** (= **الطراقيون**) فقد عرفوا لكونهم جيراناً قريبين، وأما **الاسكيثيون** فقد عرفوا نظراً لكثرة إبحارهم في **البحر البونطي** (= البحر الأسود).

٦٥- وعلي وجه الإجمال فإن كافة (الشعوب) التي كانت تطل على ساحل البحر (أو تقع بالقرب منه)، - سواء أكانت تقطن الجزء الشرقي أو الغربي من هذا البحر- كانت معروفة بصورة أكبر وأوفر لدي أولئك الكتاب (الإغريق) الراغبين في تدوين (التاريخ)، أما الشعوب التي كانت تتخذ الأراضي المتوغلة أكثر داخل القارة مقراً وسكناً لها، فكانت في الغالب الأعم مجهولة لدى (هؤلاء الكتاب).

٦٦- وتتبدى هذه الظاهرة كأوضح ما يكون بالنسبة (لقارة) أوروبا، حيث لم يرد ذكر مدينة الرومان (= مدينة روما) عند **هيرودوتوس** ولا عند **ثوكيديديس** ولا عند أي كاتب آخر معاصر لهما، رغم أنها قد اكتسبت قوة فائقة وحققت إنجازات حربية قبل عصرهم بزمن طويل؛ ولم يقدر للإغريق[٤٩] أن يتوصلوا إلى معرفة ذات بال عنها إلا في فترة زمنية متأخرة وبصعوبة بالغة.

٦٧- أما فيما يتعلق بأهل **جالاتيا وإيبيريا**، فإن أكثر المؤرخين (الإغريق) اتصافاً بالدقة الفائقة كانوا يجهلون ما يمت بصلة إليهم بصورة (تدعو للرثاء)، لدرجة أن (المؤرخ) **إفوروس** - الذي كان واحداً منهم - كان يعتقد أن **الإيبيريين**، الذين كانوا يقطنون شطراً كبيراً من أرض القارة، ما هم إلا (سكان) مدينة واحدة. على حين وجد مؤرخون آخرون الجرأة على أن ينسبوا إلى هؤلاء (الأقوام) ممارسة عادات وتقاليد، لم يثبت أنهم مارسوها أو تحدثوا عنها بحال من الأحوال.

٦٨- ولقد كان السبب في عدم معرفتهم بحقيقة هذه (الشعوب) هو عدم اتصالهم أو اختلاطهم بها سواء من قريب أو من بعيد[٥٠]، أما السبب في ترديهم في سرد روايات مغلوطة وزائفة، فكان طموحهم (الذي لا حد له) في الظهور بمظهر المؤرخين

τες εὐθὺς ἐγνώσθησαν, καὶ δι' ἐκείνων Αἰγύπτιοι καὶ πάντες ἀφ' ὧν τὸν φόρτον εἰς τοὺς Ἕλληνας
64 διεκόμιζον μεγάλα πελάγη διαίροντες. Μῆδοι δὲ μετὰ ταῦτα καὶ Πέρσαι φανεροὶ κατέστησαν τῆς Ἀσίας ἐπάρξαντες, οἱ δὲ καὶ μέχρι τῆς ἑτέρας[1] ἠπείρου Πέρσαι στρατεύσαντες. Θρᾷκες δὲ διὰ γειτονίαν καὶ τὸ Σκυθικὸν ὑπὸ[2] τῶν εἰς τὸν Πόντον
65 ἐγνώσθη πλεόντων. ὅλως γὰρ ἅπαντες οἱ παρὰ τὴν θάλατταν καὶ τὴν πρὸς ταῖς ἀνατολαῖς καὶ[3] τὴν ἑσπέριον κατοικοῦντες τοῖς συγγράφειν τι βουλομένοις γνωριμώτεροι κατέστησαν, οἱ δὲ ταύτης ἀνωτέρω τὰς οἰκήσεις ἔχοντες ἐπὶ πλεῖστον ἠγνοή-
66 θησαν. καὶ τοῦτο φαίνεται καὶ περὶ τὴν Εὐρώπην συμβεβηκός, ὅπου γε τῆς Ῥωμαίων πόλεως, τοιαύτην ἐκ μακροῦ δύναμιν κεκτημένης καὶ τοιαύτας πράξεις κατορθούσης πολεμικάς, οὔθ'[4] Ἡρόδοτος οὔτε Θουκυδίδης οὔτε τῶν ἅμα τούτοις γενομένων οὐδὲ εἷς ἐμνημόνευκεν, ἀλλ' ὀψέ ποτε καὶ μόλις αὐτῶν εἰς τοὺς Ἕλληνας ἡ γνῶσις
67 διεξῆλθεν. περὶ μὲν γὰρ Γαλατῶν τε καὶ Ἰβήρων οὕτως ἠγνόησαν οἱ δοκοῦντες ἀκριβέστατοι συγγραφεῖς, ὧν ἐστιν Ἔφορος, ὥστε πόλιν οἴεται μίαν εἶναι τοὺς Ἴβηρας τοὺς τοσοῦτο μέρος τῆς ἑσπερίου γῆς κατοικοῦντας, καὶ τὰ μήτε γενόμενα παρ' αὐτοῖς ἔθη μήτε λεγόμενα γράφειν ὡς ἐκείνων
68 αὐτοῖς χρωμένων ἐτόλμησαν. αἴτιον δὲ τοῦ μὲν μὴ γιγνώσκειν τἀληθὲς τὸ λίαν ἀνεπίμικτον, τοῦ δὲ γράφειν ψευδῆ τὸ βούλεσθαι δοκεῖν τι πλέον τῶν

[1] ἑτέρας (= Lat. *alteram*) Hudson : ἡμετέρας L.
[2] Niese : ἀπὸ L. [3] + πρὸς L. [4] + ὁ L.

العالمين ببواطن الأمور أكثر من سواهم. فهل هناك أدنى شك إذن في أن تستثار الدهشة ويزداد العجب أكثر حينما يتبين أن أمتنا - ببعدها عن البحر علي هذا النحو وبتفضيلها لهذه الطريقة من طرائق الحياة - قد غدت غير معروفة لدي الكثيرين، ولم يتسن لها بذلك أن تمنح للمؤرخين أدنى فرصة لذكرها؟

الفصل الثالث عشر

٦٩- والآن.. هب أننا نزمع أن نستخدم نفس الدليل في حالة الإغريق، وأن نزعم أن جنسهم ليس قديماً ولا عريقاً، اعتماداً منا علي عدم ورود أي ذكر لهم في سجلاتنا التاريخية! أفلا يحق لهم - علي أية حال- أن يضحكوا علي هذا ملء أشداقهم؟ أو ليسوا خليقين- كما أتصور- أن يستندوا إلى البراهين والأسباب ذاتها التي ذكرتها توا؟ أفلا يحق لهم (كذلك) أن يقدموا لنا الشعوب المجاورة لهم بوصفهم شهوداً علي قدم حضارتهم وعراقة أرومتهم؟

٧٠- بلي وأيْم الله !!! وهذا هو عين ما أحاول الآن القيام به: ذلك أنني سوف أستدعي **المصريين والفينيقيين** بوجه خاص بوصفهم شهوداً، لأن شهادتهم لا يمكن أن يشوبها الباطل أو يتطرق إليها الشك من جانب أي شخص. كما أنه مما هو بادٍ للعيان فإن **المصريين** على بكرة أبيهم، وكذلك **الفينيقيين والصوريين**، يُكنون لنا بوجه خاص مشاعر العداوة والبغضاء علي رؤوس الأشهاد.

٧١- أما فيما يتعلق **بالكلدانيين**، فليس بوسعي أن أسحب عليهم نفس الحكم، حيث إنهم كانوا الأجداد السالفين لأرومتنا، وحيث إنهم أوردوا صلة القرابة التي تربطهم بنا، نحن معشر اليهود، في سجلاتهم التاريخية.

٧٢- ثم إنني - بعد أن أقدم البراهين المستمدة من كتابات هؤلاء الأقوام - سوف أتطرق بالذكر من بعدها للكتاب **الإغريق** الذين ذكروا اليهود في مؤلفاتهم (التاريخية)، وذلك حتى يتسنى لي أن أحرم الغيورين والحاسدين حتى من هذا الدليل الوحيد الذي يملكونه، ويتخذون منه ذريعة لمشاحنتنا (وافتعال النزاع معنا).

ἄλλων ἱστορεῖν. πῶς οὖν ἔτι θαυμάζειν προσῆκεν, εἰ μηδὲ τὸ ἡμέτερον ἔθνος πολλοῖς ἐγιγνώσκετο μηδὲ τῆς ἐν τοῖς συγγράμμασι μνήμης ἀφορμὴν παρέσχεν, οὕτως μὲν ἀπῳκισμένον τῆς θαλάσσης, οὕτως δὲ βιοτεύειν προῃρημένον;

69 (13) Φέρε τοίνυν ἡμᾶς ἀξιοῦν τεκμηρίῳ χρῆσθαι περὶ τῶν Ἑλλήνων, ὅτι μὴ παλαιόν ἐστιν αὐτῶν τὸ γένος, τῷ μηθὲν ἐν ταῖς ἡμετέραις ἀναγραφαῖς περὶ αὐτῶν εἰρῆσθαι. ἆρ' οὐχὶ πάντως ἂν κατεγέλων αὐτάς, οἶμαι, τὰς ὑπ' ἐμοῦ νῦν εἰρημένας κομίζοντες αἰτίας, καὶ μάρτυρας ἂν τοὺς πλησιοχώρους
70 παρείχοντο τῆς αὐτῶν ἀρχαιότητος; κἀγὼ τοίνυν πειράσομαι τοῦτο ποιεῖν. Αἰγυπτίοις γὰρ καὶ Φοίνιξι μάλιστα δὴ χρήσομαι μάρτυσιν, οὐκ ἄν τινος ὡς ψευδῆ τὴν μαρτυρίαν διαβάλλειν δυνηθέντος· φαίνονται γὰρ καὶ δὴ μάλιστα πρὸς ἡμᾶς δυσμενῶς διατεθέντες κοινῇ μὲν ἅπαντες Αἰγύπτιοι,
71 Φοινίκων δὲ Τύριοι. περὶ μέντοι Χαλδαίων οὐκέτι ταὐτὸ τοῦτο[1] δυναίμην ἂν λέγειν, ἐπεὶ καὶ τοῦ γένους ἡμῶν ἀρχηγοὶ καθεστήκασι καὶ διὰ τὴν συγγένειαν ἐν ταῖς αὐτῶν ἀναγραφαῖς Ἰουδαίων
72 μνημονεύουσιν. ὅταν δὲ τὰς παρὰ[2] τούτων πίστεις παράσχω, τότε καὶ τῶν Ἑλλήνων συγγραφέων ἀποφανῶ τοὺς μνήμην Ἰουδαίων πεποιηκότας, ἵνα μηδὲ ταύτην ἔτι τὴν πρόφασιν οἱ βασκαίνοντες ἔχωσι τῆς πρὸς ἡμᾶς ἀντιλογίας.

73 (14) Ἄρξομαι δὴ πρῶτον ἀπὸ τῶν παρ' Αἰγυπτίοις γραμμάτων. αὐτὰ μὲν οὖν οὐχ οἷόν τε παρατίθεσθαι τἀκείνων, Μανέθως[3] δ' ἦν τὸ γένος Αἰ-

[1] ταὐτὸ τοῦτο] *hoc* Lat. [2] conj. : περὶ L.
[3] Eus. : Μανεθὼν L Lat. (and so elsewhere).

الفصل الرابع عشر

٧٣- ولسوف أبدأ أولاً بالوثائق التي في حوزة المصريين. وحيث إنه ليس في وسعي أن أوردها هنا بصورتها الأصلية فإنني أتصور أن **مانيثون**[٥١] المصري الأرومة رجل واسع الخبرة بالمعرفة الإغريقية، الأمر الذي يتضح لنا مما دونه باللغة اليونانية عن تاريخ وطنه مترجماً إياه - حسب قوله - من السجلات المقدسة[٥٢]. وهو ينتقد في تاريخه هذا **هيرودوتوس** ويعيب عليه ترديه في الخطأ والدس في مواطن كثيرة من التاريخ المصري نتيجة جهله بها.

٧٤- ولقد كتب **مانيثون** في الجزء الثاني من مؤلفه التاريخي عن المصريين المعلومات التالية عنا (نحن معشر اليهود)؛ ولسوف أورد كلماته في هذا الصدد بحذافيرها، كما لو كنت أقدمه هو نفسه بوصفه شاهداً:

٧٥- "توتيمايوس (= تحتمس): في أثناء حكم (ذلك العاهل) لا أدري كيف حلت بنا نفثة ناقمة من الرب، إذ تجاسر قوم من أصل وضيع، وفدوا علينا من المناطق الواقعة جهة الشرق، وغزوا بلدنا علي حين غرة، واستولوا عليها بسهولة بالغة ودون قتال، وبسطوا عليها سيطرتهم.

٧٦- وبعد أن وضعوا أيديهم علي القادة والزعماء في بلدنا، أضرموا بعدها النيران في المدن بوحشية وضراوة، وهدموا معابد الأرباب وسووها بالأرض، وعاملوا المواطنين كافة بعداوة لا مثيل لها، فذبحوا بعضهم وسبوا نساء البعض الآخر، واستعبدوا أبناءهم.

٧٧- وفي خاتمة المطاف عينوا واحداً منهم ملكاً، وكان اسمه ساليتيس (أو "سائيتيس"[٥٣])، واتخذ هذا (الملك) من ممفيس (= منف) مقرا لحكمه، وفرض خراجاً وضرائب علي كل من مصر العليا والسفلي، كما وضع حاميات (لجيشه) في أكثر المواضع صلاحية (من حيث الموقع). كذلك قام بتأمين الجبهة الشمالية علي وجه الخصوص، واضعا في اعتباره قوة الآشوريين (العسكرية) آنذاك، واحتمال تزايدها في المستقبل، وما قد تسوله لهم أنفسهم من الشروع في مهاجمة مملكته.

γύπτιος, ἀνὴρ τῆς Ἑλληνικῆς μετεσχηκὼς παιδείας, ὡς δῆλός ἐστι· γέγραφε γὰρ Ἕλλάδι φωνῇ τὴν πάτριον ἱστορίαν ἐκ δέλτων[1] ἱερῶν, ὥς φησιν αὐτός, μεταφράσας, ὃς[2] καὶ πολλὰ τὸν Ἡρόδοτον ἐλέγχει τῶν Αἰγυπτιακῶν ὑπ' ἀγνοίας
74 ἐψευσμένον. οὗτος δὴ τοίνυν ὁ Μανέθως ἐν τῇ δευτέρᾳ τῶν Αἰγυπτιακῶν ταῦτα περὶ ἡμῶν γράφει· παραθήσομαι δὲ τὴν λέξιν αὐτοῦ καθάπερ αὐτὸν ἐκεῖνον παραγαγὼν μάρτυρα·
75 "Τουτίμαιος.[3] ἐπὶ τούτου οὐκ οἶδ' ὅπως ὁ[4] θεὸς ἀντέπνευσεν καὶ παραδόξως ἐκ τῶν πρὸς ἀνατολὴν μερῶν ἄνθρωποι τὸ γένος ἄσημοι καταθαρρήσαντες ἐπὶ τὴν χώραν ἐστράτευσαν καὶ ῥᾳδίως ἀμαχητὶ
76 ταύτην κατὰ κράτος εἷλον, καὶ τοὺς ἡγεμονεύσαντας ἐν αὐτῇ χειρωσάμενοι τὸ λοιπὸν τάς τε πόλεις ὠμῶς ἐνέπρησαν καὶ τὰ τῶν θεῶν ἱερὰ κατέσκαψαν, πᾶσι δὲ τοῖς ἐπιχωρίοις ἐχθρότατά πως ἐχρήσαντο, τοὺς μὲν σφάζοντες, τῶν δὲ καὶ τὰ
77 τέκνα καὶ γυναῖκας εἰς δουλείαν ἄγοντες: πέρας δὲ καὶ βασιλέα ἕνα ἐξ αὐτῶν ἐποίησαν, ᾧ ὄνομα ἦν Σάλιτις.[5] καὶ οὗτος ἐν τῇ Μέμφιδι κατεγίνετο τήν τε ἄνω καὶ κάτω χώραν δασμολογῶν καὶ φρουρὰν ἐν τοῖς ἐπιτηδειοτάτοις καταλείπων[6] τόποις. μάλιστα δὲ καὶ τὰ πρὸς ἀνατολὴν ἠσφαλίσατο μέρη, προορώμενος Ἀσσυρίων ποτὲ μεῖζον ἰσχυόντων ἐσομένην ἐπιθυμίᾳ[7] τῆς αὐτοῦ βασι-
78 λείας ἔφοδον. εὑρὼν δὲ ἐν νομῷ τῷ Σεθροΐτῃ[8]

[1] δέλτων Gutschmid: τε τῶν L. [2] ὃς Eus.: om. L.
[3] After Gutschmid and Reinach: τοῦ Τίμαιος ὄνομα L Eus. (the last word probably a gloss).
[4] ὁ Eus.: om. L.
[5] Σαΐτης Manetho as cited by others.
[6] ed. pr.: καταλιπὼν L. [7] Bekker: ἐπιθυμίαν L.

٧٨- ولقد عثر (هذا الملك) علي مدينة لا مثيل لها في الصلاحية والتناسب في إقليم سيثروئيتيس، وهي تقع شرق نهر بوباسطيس، وتسمي وفقا للتراث الكهنوتي القديم أواريس[٥٤]. فأعاد تشييدها وحصنها بأسوار فائقة المناعة، وأسكن فيها حامية من الرجال المسلحين، للدفاع عنها يقدر تعدادها بمائتين وأربعين ألفاً.

٧٩- وكان (الملك) قد اعتاد أن يتردد علي هذا المكان كل صيف لمتابعة جمع الخراج من الحبوب ولكي ينقد جنوده رواتبهم، ومن ناحية أخرى لكي يتابع تدريبهم تدريباً متقنا علي استخدام السلاح والمناورات، بغية بث الذعر في نفوس الأجانب. وبعد حكم دام تسع عشرة سنة رحل (هذا الملك) عن الحياة.

٨٠- وبعد موت هذا (الملك) خلفه ملك آخر يدعي بنون حكم البلاد لمدة أربع وأربعين عاماً، أما خلفه المدعو أباخناس فقد حكم لمدة ثلاثة وستين عاماً وسبعة شهور، ثم تلاه (الملك) أبوفيس الذي حكم لمدة واحد وستين عاماً.

٨١- ثم (الملك) "يانّاس" الذي حكم لمدة خمسين عاماً وشهراً واحداً، وأخيراً تلاهم (الملك) أسيس الذي دام حكمه لمدة تسعة وأربعين عاماً وشهرين. وكان هؤلاء الملوك الستة - الذين كانوا أول من تولي مقاليد الحكم من بين هؤلاء القوم - يتوقون ويتحرقون شوقا إلى استئصال شأفة المصريين أكثر من أي هدف آخر.

٨٢- وكان جنس هؤلاء القوم كلهم يعرف باسم الهكسوس[٥٥]، وهي تسمية تعني: "الملوك الرعاة" ذلك أن كلمة "هيك" في اللغة المقدسة تعني: "ملك"، أما كلمة "سوس" فتعني في اللغة العامية: "راعي" أو "رعاة"، وهكذا فإنه عن طريق الجمع بين هاتين الكلمتين نتجت كلمة "هكسوس"، ويذهب البعض في قولهم إلى أن هؤلاء (القوم) من العرب.

πόλιν ἐπικαιροτάτην, κειμένην μὲν πρὸς ἀνατολὴν
τοῦ Βουβαστίτου ποταμοῦ, καλουμένην δ' ἀπό
τινος ἀρχαίας θεολογίας Αὔαριν, ταύτην ἔκτισέν
τε καὶ τοῖς τείχεσιν ὀχυρωτάτην ἐποίησεν, ἐν-
οικίσας αὐτῇ καὶ πλῆθος ὁπλιτῶν εἰς εἴκοσι καὶ
79 τέσσαρας μυριάδας ἀνδρῶν προφυλακήν. ἐνθάδε[1]
κατὰ θέρειαν ἤρχετο τὰ μὲν σιτομετρῶν καὶ
μισθοφορίαν παρεχόμενος, τὰ δὲ καὶ ταῖς ἐξ-
οπλισίαις πρὸς φόβον τῶν ἔξωθεν ἐπιμελῶς γυμνά-
ζων. ἄρξας δ' ἐννεακαίδεκα ἔτη τὸν βίον ἐτελεύτησε.
80 μετὰ τοῦτον δὲ ἕτερος ἐβασίλευσεν τέσσαρα καὶ
τεσσαράκοντα ἔτη καλούμενος Βνών,[2] μεθ' ὃν
ἄλλος Ἀπαχνὰς ἓξ καὶ τριάκοντα ἔτη καὶ μῆνας
ἑπτά, ἔπειτα δὲ καὶ Ἄπωφις ἓν καὶ ἑξήκοντα καὶ
81 Ἰαννὰς πεντήκοντα καὶ μῆνα ἕνα, ἐπὶ πᾶσι δὲ
καὶ Ἄσσις ἐννέα καὶ τεσσαράκοντα καὶ μῆνας δύο.
καὶ οὗτοι μὲν ἓξ ἐν αὐτοῖς ἐγενήθησαν πρῶτοι
ἄρχοντες, πολοῦντες[3] ἀεὶ καὶ μᾶλλον τῆς Αἰγύπτου
82 ἐξαίρει τὴν ῥίζαν. ἐκαλεῖτο δὲ τὸ σύμπαν αὐτῶν[4]
ἔθνος Ὑκσώς,[5] τοῦτο δέ ἐστιν βασιλεῖς ποιμένες·
τὸ γὰρ ὒκ καθ' ἱερὰν γλῶσσαν βασιλέα σημαίνει,
τὸ δὲ σὼς ποιμήν ἐστι καὶ ποιμένες κατὰ τὴν
κοινὴν διάλεκτον, καὶ οὕτως συντιθέμενον γίνεται
Ὑκσώς. τινὲς δὲ λέγουσιν αὐτοὺς Ἄραβας εἶναι."
83 [ἐν[6] δ' ἄλλῳ ἀντιγράφῳ οὐ βασιλεῖς σημαίνεσθαι

[1] ἔνθα δὲ Lat.
[2] Jul. Africanus: Βηών L.
[3] πορθοῦντες L: text of clause doubtful.
[4] σύμπαν αὐτῶν Eus., Lat.: om. L.
[5] Ὑκουσσὼς Eus. (and so always).
[6] The bracketed clause (already in Eus.) is apparently a gloss.

٨٣- [وفي جزء آخر من هذا الكتاب[٥٦]، نجد أن كلمة "هك" لا تعني "الملوك" في دلالتها، بل علي العكس من ذلك تعني أن الرعاة كانوا "أسرى"؛ ذلك أن كلمة "هك" في اللغة المصرية القديمة من ناحية أخرى - وكذلك كلمة "هاك" التي تبدأ بحرف الهاء- تعني بجلاء "أسرى"]. وفيما يبدو لي فإن هذا التفسير الأخير هو الأكثر احتمالاً والأقرب ارتباطاً بالتاريخ القديم.

٨٤- ويقول (مانيثون) إن هؤلاء الملوك الذين ذكرت أسماؤهم أعلاه والذين يعرفون باسم "الرعاة"، وكذلك ذريتهم من بعدهم، ظلوا يحكمون مصر مدة مقدارها خمسمائة وإحدى عشرة سنة[٥٧].

٨٥- ويستطرد[٥٨] (مانيثون) قائلاً إن ملوك إقليم طيبة وسائر مصر قد قاموا بعد ذلك بثورة ضد الرعاة، ونشبت حرب ضروس بين الطرفين دامت أمداً طويلاً.

٨٦- ويذكر أنه في عهد ملك (مصري) يدعي ميسفراجموثيس حاقت الهزيمة بالرعاة، وتم طردهم من باقي أرجاء مصر كلها، وتم حصرهم في بقعة تدعي أواريس، وهي مكان تبلغ مساحته عشرة آلاف أرورا[٥٩].

٨٧- ويذكر المؤرخ مانيثون أن الرعاة قد أحاطوا هذا المكان كله بسور ضخم حصين، كي يتسنى لهم الحفاظ علي كافة ممتلكاتهم وغنائمهم وأسلابهم داخل نطاق هذا الحصن المنيع.

διὰ τῆς τοῦ ὒκ προσηγορίας, ἀλλὰ τοὐναντίον αἰχμαλώτους δηλοῦσθαι ποιμένας·[1] τὸ γὰρ ὒκ πάλιν Αἰγυπτιστὶ καὶ τὸ ἂκ δασυνόμενον αἰχμαλώτους ῥητῶς μηνύει.] καὶ τοῦτο μᾶλλον πιθανώτερόν μοι φαίνεται καὶ παλαιᾶς ἱστορίας ἐχόμενον.

84 Τούτους τοὺς προκατωνομασμένους βασιλέας [καὶ] τοὺς τῶν ποιμένων καλουμένων καὶ τοὺς ἐξ αὐτῶν γενομένους κρατῆσαι τῆς Αἰγύπτου
85 φησὶν ἔτη πρὸς τοῖς πεντακοσίοις ἕνδεκα. μετὰ ταῦτα δὲ τῶν ἐκ τῆς Θηβαΐδος καὶ τῆς ἄλλης Αἰγύπτου βασιλέων γενέσθαι φησὶν ἐπὶ τοὺς ποιμένας ἐπανάστασιν καὶ πόλεμον[2] συρραγῆναι
86 μέγαν καὶ πολυχρόνιον. ἐπὶ δὲ βασιλέως, ᾧ ὄνομα εἶναι Μισφραγμούθωσις,[3] ἡττωμένους[4] φησὶ τοὺς ποιμένας[5] ἐκ μὲν τῆς ἄλλης Αἰγύπτου πάσης ἐκπεσεῖν, κατακλεισθῆναι δ' εἰς τόπον ἀρουρῶν ἔχοντα μυρίων τὴν περίμετρον· Αὔαρις ὄνομα τῷ
87 τόπῳ. τοῦτόν φησιν ὁ Μανέθως ἅπαντα τείχει τε μεγάλῳ καὶ ἰσχυρῷ περιβαλεῖν τοὺς ποιμένας, ὅπως τήν τε κτῆσιν ἅπασαν ἔχωσιν ἐν ὀχυρῷ
88 καὶ τὴν λείαν τὴν ἑαυτῶν. τὸν δὲ Μισφραγμου-

[1] After Eus.
[2] + αὐτοῖς L Lat.: om. Eus.)
[3] Eus.: Ἀλισφραγμούθωσις L (Lat.) and so below.
[4] ἡττημένους should probably be read (Niese).
[5] + ἐξ αὐτοῦ L: om. Eus.

٨٨- ولقد حاصر **ثوموسيس**، ابن الملك **ميسفراجموثيس**، أسوار مدينتهم بجيش قوامه أربعمائة وثمانين ألف جندي، وحاول أن يستولي عليها وأن يخضعهم بالقوة عن طريق الحصار. غير أنه حينما دب اليأس في قلبه من عدم جدوى الحصار، (اضطر) إلى عقد معاهدة معهم يغادرون بمقتضاها مصر على بكرة أبيهم، ويتوجهون سالمين إلى حيث يشاءون.

٨٩- وبناء علي (بنود) هذه المعاهدة غادر مصر ما لا يقل عن مائتين وأربعين ألفاً[٦٠] منهم مع أفراد أسرهم ومصحوبين بكافة ممتلكاتهم، وعبروا (الحدود) متجهين إلى الصحراء الواقعة في سوريا.

٩٠- ولكنهم حينما أحسوا بالرعب من سطوة **الآشوريين** الذين كانوا يهيمنون آنذاك علي (الشطر الأكبر) من آسيا، قاموا بتأسيس مدينة في المنطقة التي تعرف الآن باسم **يودايا** (= **يهودية**)، والتي يمكنها استيعاب هذه الآلاف المؤلفة من البشر، وأسموها **أورشليم**.

٩١- وفي كتاب آخر من كتب التاريخ المصري يذكر **مانيثون** أن هذا الجنس (أي **الهكسوس**)، الذي يطلق عليه اسم **الرعاة**، قد وصف في الكتب المقدسة[٦١] (للمصريين) باسم **الأسري**. وهو مصيب فيما ذهب إليه (في هذه المعلومة)، ذلك أن الرعي كان عادة متأصلة في أرومتنا ولدي أسلافنا الغابرين الموغلين في القدم، وبسبب طابع حياتهم الرعوي (البدوي) سموا باسم **الرعاة**.

٩٢- غير أن تسميتهم **بالأسري** من جانب آخر في الوثائق المصرية لم تكن بعيدة عن المنطق أو مجافية للصواب، نظراً لأن جدنا الأكبر **يوسف** (عليه السلام) كان قد أخبر ملك المصريين أنه كان **أسيراً**[٦٢]، ثم استطاع بعدها بموافقة من الملك أن يرسل في طلب أخوته (ليفدوا للإقامة معه) في مصر. غير أنني أنوي أن أتعرض بتفصيل أكثر دقة لهذه الموضوعات، وأن أقوم بتقصيها وبحثها في عمل آخر[٦٣].

θώσεως υἱὸν Θούμμωσιν ἐπιχειρῆσαι μὲν αὐτοὺς διὰ πολιορκίας ἐλεῖν κατὰ κράτος, ὀκτὼ καὶ τεσσαράκοντα μυριάσι στρατοῦ προσεδρεύσαντα τοῖς τείχεσιν· ἐπεὶ δὲ τῆς πολιορκίας[1] ἀπέγνω, ποιήσασθαι συμβάσεις, ἵνα τὴν Αἴγυπτον ἐκλιπόντες
89 ὅποι βούλονται πάντες ἀβλαβεῖς ἀπέλθωσι. τοὺς δὲ ἐπὶ ταῖς ὁμολογίαις πανοικησίᾳ μετὰ τῶν κτήσεων οὐκ ἐλάττους μυριάδων ὄντας εἴκοσι καὶ τεσσάρων ἀπὸ τῆς Αἰγύπτου τὴν ἔρημον εἰς Συρίαν
90 διοδοιπορῆσαι. φοβουμένους δὲ τὴν Ἀσσυρίων δυναστείαν, τότε γὰρ ἐκείνους τῆς Ἀσίας κρατεῖν, ἐν τῇ νῦν Ἰουδαίᾳ καλουμένῃ πόλιν οἰκοδομησαμένους τοσαύταις μυριάσιν ἀνθρώπων ἀρκέσουσαν Ἱεροσόλυμα ταύτην ὀνομάσαι.

91 Ἐν ἄλλῃ δέ τινι βίβλῳ τῶν Αἰγυπτιακῶν Μανέθως τοῦτό φησι <τὸ> ἔθνος τοὺς καλουμένους ποιμένας αἰχμαλώτους ἐν ταῖς ἱεραῖς αὐτῶν βίβλοις γεγράφθαι, λέγων ὀρθῶς· καὶ γὰρ τοῖς ἀνωτάτω προγόνοις ἡμῶν τὸ ποιμαίνειν πάτριον ἦν καὶ νομαδικὸν ἔχοντες τὸν βίον οὕτως
92 ἐκαλοῦντο ποιμένες. αἰχμάλωτοί τε πάλιν οὐκ ἀλόγως ὑπὸ τῶν Αἰγυπτίων ἀνεγράφησαν, ἐπειδήπερ ὁ πρόγονος ἡμῶν Ἰώσηπος ἑαυτὸν ἔφη πρὸς τὸν βασιλέα τῶν Αἰγυπτίων αἰχμάλωτον εἶναι, καὶ τοὺς ἀδελφοὺς εἰς τὴν Αἴγυπτον ὕστερον μετεπέμψατο τοῦ βασιλέως ἐπιτρέψαντος. ἀλλὰ

[1] τὴν πολιορκίαν Eus.

الفصل الخامس عشر

٩٣- (ويكفيني) في الوقت الحاضر أن أقدم **المصريين** بوصفهم شهوداً علي عراقة تاريخنا، وبالتالي فلسوف استأنف من جديد إيراد المقتطفات التي أقتبسها من (أعمال المؤرخ) **مانيثون** والتي تحمل شهادته عن ترتيب الأزمنة (والأحداث). وفيما يلي نص ما ذكره:

٩٤- **"بعد رحيل أولئك القوم من الرعاة عن مصر إلي أورشليم، حكم البلاد الملك تثموسيس[٦٤] . الذي قام بطردهم من مصر . لمدة مقدارها خمس وعشرين عاما وأربعة شهور؛ وبعد رحيله عن الحياة تولي الحكم من بعده ابنه خبرون لمدة ثلاثة عشر عاماً. ثم تلاه أمينوفيس الذي حكم لمدة عشرين عاما وسبعة أشهر.**

٩٥- **ثم أعقبته أخته أميسيس التي حكمت البلاد واحداً وعشرين عاماً وتسعة أشهر، وخلفها مفريس[٦٥] لمدة اثني عشر عاما وتسعة أشهر، ثم أعقبه ميفراموثوسيس لمدة خمس وعشرين عاماً وعشرة أشهر.**

٩٦- **ثم تلاه ثموسيس لمدة تسع سنوات وثمانية شهور، ثم جاء من بعده أمينوفيس الذي حكم لمدة ثلاثين عاماً وعشرة أشهر، ثم حورس الذي حكم لمدة واحد وثلاثين عاماً وخمسة أشهر، ثم أعقبته ابنته أكينخريس التي حكمت لمدة اثنتي عشرة سنة وشهراً واحداً.**

٩٧- **ثم تولي الحكم بعد ذلك أخوه راثوسيس الذي حكم لمدة تسع سنوات، وتلاه الملك أكينخيريس[٦٦] الذي حكم لمدة اثنتي عشرة سنة وخمسة أشهر، وجاء من بعده الملك أكينخيريس الثاني الذي حكم البلاد اثني عشر عاماً وثلاثة أشهر، وأعقبه الملك هارمائيس الذي حكم لمدة أربع سنوات وشهراً واحداً، وجاء من بعده الملك راميسيس (=رعمسيس) الذي (لم يدم) حكمه سوى عام واحد وأربعة أشهر. ثم تولي الملك من بعده هارميسيس ميامون الذي حكم البلاد لمدة ست وستين سنة وشهرين.**

٩٨- **ثم تولي العرش من بعده الملك أمينوفيس لمدة تسع عشرة سنة وستة أشهر، ثم خلفه الملك سيثوسيس[٦٧]، الملقب أيضاً باسم رعمسيس[٦٨]، والذي كان لديه جيش**

obeikandl.com

περὶ μὲν τούτων ἐν ἄλλοις ποιήσομαι τὴν ἐξέτασιν ἀκριβεστέραν.

93 (15) Νυνὶ δὲ τῆς ἀρχαιότητος ταύτης παρατίθεμαι τοὺς Αἰγυπτίους μάρτυρας. πάλιν οὖν τὰ τοῦ Μανέθω[1] πῶς ἔχει πρὸς τὴν τῶν χρόνων τάξιν
94 ὑπογράψω. φησὶ δὲ οὕτως· "μετὰ τὸ ἐξελθεῖν ἐξ Αἰγύπτου τὸν λαὸν τῶν ποιμένων εἰς Ἱεροσόλυμα ὁ ἐκβαλὼν αὐτοὺς ἐξ Αἰγύπτου βασιλεὺς Τέθμωσις ἐβασίλευσεν μετὰ ταῦτα ἔτη εἰκοσιπέντε καὶ μῆνας τέσσαρας καὶ ἐτελεύτησεν, καὶ παρέλαβεν τὴν ἀρχὴν ὁ αὐτοῦ υἱὸς Χέβρων ἔτη δεκατρία.
95 μεθ' ὃν Ἀμένωφις εἴκοσι καὶ μῆνας ἑπτά. τοῦ δὲ ἀδελφὴ Ἀμεσσὴς εἴκοσι ἓν καὶ μῆνας ἐννέα. τῆς δὲ Μήφρης δώδεκα καὶ μῆνας ἐννέα. τοῦ δὲ Μηφραμούθωσις εἴκοσι πέντε καὶ μῆνας δέκα.
96 τοῦ δὲ Θμῶσις ἐννέα καὶ μῆνας ὀκτώ. τοῦ δ' Ἀμένωφις τριάκοντα καὶ μῆνας δέκα. τοῦ δὲ Ὧρος τριάκοντα ἓξ καὶ μῆνας πέντε. τοῦ δὲ θυγάτηρ Ἀκεγχερὴς δώδεκα καὶ μῆνα ἕνα. τῆς
97 δὲ Ῥάθωτις ἀδελφὸς ἐννέα. τοῦ δὲ Ἀκεγχήρης δώδεκα καὶ μῆνας πέντε. τοῦ δὲ Ἀκεγχήρης ἕτερος δώδεκα καὶ μῆνας τρεῖς. τοῦ δὲ Ἄρμαϊς τέσσαρα καὶ μῆνα ἕνα. τοῦ δὲ Ῥαμέσσης ἓν καὶ μῆνας τέσσαρας. τοῦ δὲ Ἀρμέσσης Μιαμοῦν ἑξήκοντα ἓξ καὶ μῆνας δύο. τοῦ δὲ Ἀμένωφις
98 δεκαεννέα καὶ μῆνας ἕξ. τοῦ δὲ Σέθως ὁ καὶ Ῥαμέσσης[2] ἱππικὴν καὶ ναυτικὴν ἔχων δύναμιν

[1] Μανεθῶνος L.
[2] Σέθως ὁ καὶ Ῥαμ. Eus.: Σέθωσις καὶ Ῥαμέσσης L.

اعرمرم) من الفرسان وأسطول (كبير). ولقد عين رعمسيس أخاه هارمائيس[٦٩] ولياً للعهد على مصر[٧٠]، وأغدق عليه جميع الامتيازات وخوله سائر السلطات الملكية، ولم يحرم عليه سوي ارتداء تاج الملك وشعاره، وسوى كف الأذى عن الملكة الوالدة التي أنجبت الأمراء (الأبناء)، وألا يقرب سائر محظيات الملك..

٩٩- ثم من بعد ذلك غادر الملك (رعمسيس) البلاد علي رأس جيش لشن الحرب علي قبرص وفينيقيا، ثم من بعدهما علي الآشوريين والميديين جميعاً، وتمكن - سواء عن طريق خوض حرب أو بدون اشتباك في معركة - من إخضاع هؤلاء جميعا لسلطانه تحت تأثير الرعب الذي بثه في قلوبهم بسبب جيشه الجرار. وحينئذ تملكته مشاعر الحماسة والزهو نتيجة لنجاحه المظفر ومن جراء نشوة الانتصار، فتقدم في زحفه وهو أكثر ما يكون جسارة، وبث الدمار والخراب في المدن والبلدان الواقعة جهة الشرق.

١٠٠- وبعد مرور وقت كاف علي رحيل (رعمسيس في حملته الحربية) أقدم (أخوه) هارمائيس - الذي تركه (ليصرف الأمور) في مصر - بلا خشية ولا خجل علي اقتراف كل الأفعال (المشينة) التي كان أخوه قد نصحه بعدم فعلها: إذ أنه عامل الملكة(الأم) بفظاظة ووحشية، وانتهك حرمة سائر محظيات الملك، وعاث فساداً معهن بغير ضابط ولا رادع، وانصاع لغواية نفر من خلانه فارتدى تاج الملك وشعاره، وشق عصا الطاعة علي أخيه.

١٠١- ومن ثم كتب القائم علي أمر المعابد المصرية رسالة بعث بها إلي (أخيه الملك) سيثوسيس، يخبره فيها بكل الأمور التي حدثت (أثناء غيابه)، وان أخاه هارمائيس قد ثار عليه وخرج عن طاعته. وعلي الفور قفل سيثوسيس عائداً أدراجه إلي بيلوسيون وأحكم قبضته علي البلاد واستعاد مملكته.

τὸν μὲν ἀδελφὸν Ἄρμαϊν ἐπίτροπον τῆς Αἰγύπτου κατέστησεν καὶ πᾶσαν μὲν αὐτῷ τὴν ἄλλην βασιλικὴν περιέθηκεν ἐξουσίαν, μόνον δὲ ἐνετείλατο διάδημα μὴ φορεῖν μηδὲ τὴν βασιλίδα μητέρα τε
99 τῶν τέκνων ἀδικεῖν, ἀπέχεσθαι δὲ καὶ τῶν ἄλλων βασιλικῶν παλλακίδων. αὐτὸς δὲ ἐπὶ Κύπρον καὶ Φοινίκην καὶ πάλιν Ἀσσυρίους τε καὶ Μήδους στρατεύσας ἅπαντας, τοὺς μὲν δόρατι, τοὺς δὲ ἀμαχητὶ φόβῳ δὲ τῆς πολλῆς δυνάμεως ὑποχειρίους ἔλαβε, καὶ μέγα φρονήσας ἐπὶ ταῖς εὐπραγίαις ἔτι καὶ θαρσαλεώτερον ἐπεπορεύετο τὰς πρὸς ἀνατολὰς
100 πόλεις τε καὶ χώρας καταστρεφόμενος. χρόνου τε ἱκανοῦ γεγονότος Ἄρμαϊς ὁ καταλειφθεὶς ἐν Αἰγύπτῳ πάντα τἄμπαλιν οἷς ἀδελφὸς[1] παρήνει μὴ ποιεῖν ἀδεῶς ἔπραττεν· καὶ γὰρ τὴν βασιλίδα βιαίως ἔσχεν καὶ ταῖς ἄλλαις παλλακίσιν ἀφειδῶς διετέλει χρώμενος, πειθόμενος δὲ[2] ὑπὸ τῶν φίλων
101 διάδημα ἐφόρει καὶ ἀντῆρε τῷ ἀδελφῷ. ὁ δὲ τεταγμένος ἐπὶ τῶν ἱερῶν[3] τῆς Αἰγύπτου γράψας βιβλίον ἔπεμψε τῷ Σεθώσει, δηλῶν αὐτῷ πάντα καὶ ὅτι ἀντῆρεν ὁ ἀδελφὸς αὐτῷ[4] Ἄρμαϊς. παραχρῆμα οὖν ὑπέστρεψεν εἰς Πηλούσιον καὶ ἐκράτησεν
102 τῆς ἰδίας βασιλείας. ἡ δὲ χώρα ἐκλήθη ἀπὸ τοῦ αὐτοῦ ὀνόματος Αἴγυπτος." λέγει γὰρ ὅτι ὁ μὲν

[1] ἀδελφὸς Gutschmid: ἀδελφὸς L.
[2] τε Niese.
[3] Hudson (after Lat. and Eus.): ἱερέων L.
[4] Niese: αὐτοῦ L.

١٠٢- **ثم سميت البلاد علي يديه باسم إيجيبتوس (= مصر). ويخبرنا (مانيثون) أن (الملك) سيثوس كان يدعي آيجبيتوس، وأن أخاه هارمائيس كان يسمي "داناؤوس"**[٧١].

الفصل السادس عشر

١٠٣- كانت هذه هي (رواية) **مانيثون**، ويتضح منها - إذا ما أخذنا في الاعتبار مجمل مدة السنوات التي ذكرها - أن من يسمون **بالرعاة**، وأعني بهم أجدادنا، قد رحلوا عن مصر واستقروا في بلادنا هذه (التي نعيش فيها الآن)، قبل أن يغد داناؤوس إلي ارجوس بمدة مقدارها ثلاثمائة وثلاث وتسعين سنة[٧٢].

١٠٤- وبالرغم من ذلك، فإن **الأرجيين** (= أهل **أرجوس**) يعتبرون (داناؤوس) أقدم الناس طراً[٧٣]. وهكذا فإن **مانيثون** قد زودنا بدليلين علي أكبر جانب من الأهمية (مستمدين) من السجلات المدونة التي في حوزة المصريين: أولهما أن قدومنا إلي مصر كان من (مكان ما) خارج حدودها، وثانيهما أن رحيلنا عنها كان في زمن سحيق جدا من التاريخ الغابر، إذ أنه يسبق **حرب طروادة** بحوالي ألف عام.

١٠٥- أما فيما يتعلق بما أضافه **مانيثون**، مستمدا إياه - لا من السجلات المصرية الرسمية، بل حسب ما اعترف به هو نفسه، من روايات أسطورية غير موثوق في صحتها- فسوف أتصدي لتفنيده ودحضه علي نحو مفصل في مكان لاحق[٧٤]، ولسوف أبين بجلاء بعده عن المعقولية وجنوحه للزيف والبطلان.

الفصل السابع عشر

١٠٦- وبناء علي هذا فإن مرامي الآن هو أن أنبري - انطلاقا مما تقدم - لعرض **الإشارات المدونة عن جنسنا عند الفينيقيين**، وأن أقدم **الدلائل المستقاة** منها.

١٠٧- فمنذ سنوات كثيرة سلفت (في الزمن الغابر) جرت العادة علي أن يحتفظ أهل **صور** بسجلات عامة يجري تدوينها وحفظها بعناية علي المستوي الرسمي، وكانت هذه (السجلات) تحتوي على ما حدث بين ظهرانيهم من أحداث ووقائع، وكذلك على ما وقع من أحداث لدي الشعوب الأخرى تستحق الذكر والتسجيل.

Σέθως ἐκαλεῖτο Αἴγυπτος, Ἄρμαϊς δὲ ὁ ἀδελφὸς αὐτοῦ Δαναός.

103 (16) Ταῦτα μὲν ὁ Μανέθως. δῆλον δ' ἐστὶν ἐκ τῶν εἰρημένων ἐτῶν τοῦ χρόνου συλλογισθέντος ὅτι οἱ καλούμενοι ποιμένες, ἡμέτεροι δὲ[1] πρόγονοι, τρισὶ καὶ ἐνενήκοντα καὶ τριακοσίοις πρόσθεν ἔτεσιν ἐκ τῆς Αἰγύπτου ἀπαλλαγέντες τὴν χώραν ταύτην ἐπῴκησαν ἢ Δαναὸν εἰς Ἄργος ἀφικέσθαι· καίτοι
104 τοῦτον ἀρχαιότατον Ἀργεῖοι νομίζουσι. δύο τοίνυν ὁ Μανέθως ἡμῖν τὰ μέγιστα μεμαρτύρηκεν ἐκ τῶν παρ' Αἰγυπτίοις γραμμάτων, πρῶτον μὲν τὴν ἑτέρωθεν ἄφιξιν εἰς Αἴγυπτον, ἔπειτα δὲ τὴν ἐκεῖθεν ἀπαλλαγὴν οὕτως ἀρχαίαν τοῖς χρόνοις, ὡς ἐγγύς που προτερεῖν[2] αὐτὴν τῶν Ἰλιακῶν ἔτεσι χιλίοις.
105 ὑπὲρ ὧν δ' ὁ Μανέθως οὐκ ἐκ τῶν παρ' Αἰγυπτίοις γραμμάτων,[3] ἀλλ' ὡς αὐτὸς ὡμολόγηκεν ἐκ τῶν ἀδεσπότως μυθολογουμένων προστέθεικεν, ὕστερον ἐξελέγξω κατὰ μέρος ἀποδεικνὺς τὴν ἀπίθανον αὐτοῦ ψευδολογίαν.

106 (17) Βούλομαι τοίνυν ἀπὸ τούτων ἤδη[4] μετελθεῖν ἐπὶ τὰ παρὰ τοῖς Φοίνιξιν ἀναγεγραμμένα περὶ τοῦ γένους ἡμῶν καὶ τὰς ἐξ ἐκείνων μαρτυρίας παρα-
107 σχεῖν. ἔστι τοίνυν παρὰ Τυρίοις ἀπὸ παμπόλλων[5] ἐτῶν γράμματα δημοσίᾳ γεγραμμένα καὶ πεφυλαγμένα λίαν ἐπιμελῶς περὶ τῶν παρ' αὐτοῖς γενομένων καὶ πρὸς ἄλλους[6] πραχθέντων μνήμης ἀξίων.
108 ἐν τούτοις γέγραπται ὅτι ὁ ἐν Ἱεροσολύμοις ᾠκο-

[1] δὲ Eus.: om. L Lat.
[2] που προτερεῖν Eus., Lat.: τοῦ πρότερον L.
[3] πραγμάτων L.
[4] Eus.: ἔτι L (Lat. *rursus*).
[5] ἀπὸ παμπ.] πολλῶν L Lat.
[6] Gutschmid: ἀλλήλους L Lat.

١٠٨- ولقد دون في هذه السجلات أنه قد تم تشييد معبد في **أورشليم** علي يد الملك **سليمان** قبل أن يؤسس أهل **صور** (مدينة) **قرطاجة** بمائة وثلاثة وأربعين عاما وثمانية أشهر[٧٥].

١٠٩- ولم يكن ذكر تشييد معبدنا في سجلاتهم المدونة أمراً بعيداً عن المعقولية، ذلك أن **هيروموس** (= **حيروم**)[٧٦]، ملك الصوريين، كان صديقا لملكنا **سليمان**، وكان قد ورث هذه الصداقة عن والده[٧٧].

١١٠- ولما كان (الملك **حيروم**)، يشارك الملك **سليمان** في الولع بفخامة المبنى، فقد منحه بناء على ذلك مائة وعشرين تالنت من الذهب، كما أرسل له كذلك أجود أنواع الأخشاب من جبل يدعي **ليبانوس**، لكي يتم عمل سقف (المعبد) به. وفي مقابل ذلك قدم له (الملك) **سليمان** هدية- ضمن هدايا أخرى كثيرة- عبارة عن قطعة من الأرض في منطقة الجليل، في حي يسمي حي **خابولون**[٧٨].

١١١- غير أن أواصر الصداقة التي ربطت بينهما علي وجه الخصوص كانت تتجلى في رغبتهما العارمة في طلب العلم والحكمة. إذ كان كل واحد منهما معتاداً على أن يرسل للآخر مسائل ومشكلات (= ألغازاً) ويطلب منه حلها، وكان **لسليمان** القدح المعلي في حل هذه (الألغاز)، كما كان هو الأكثر مهارة وحنكة في غيرها من الأمور. وكثير من المراسلات التي دونت وتم تبادلها فيما بين (هذين العاهلين) لازالت محفوظة لدي أهل صور حتى يومنا هذا[٧٩].

δομήθη ναὸς ὑπὸ Σολόμωνος τοῦ βασιλέως ἔτεσι θᾶττον ἑκατὸν τεσσαράκοντα καὶ τρισὶν καὶ μησὶν
109 ὀκτὼ τοῦ κτίσαι Τυρίους Καρχηδόνα. ἀνεγράφη δὲ παρ' ἐκείνοις οὐκ ἀλόγως[1] ἡ τοῦ ναοῦ κατασκευὴ τοῦ παρ' ἡμῖν· Εἴρωμος γὰρ ὁ τῶν Τυρίων βασιλεὺς φίλος ἦν τοῦ βασιλέως ἡμῶν Σολόμωνος
110 πατρικὴν πρὸς αὐτὸν φιλίαν διαδεδεγμένος. οὗτος οὖν συμφιλοτιμούμενος εἰς τὴν τοῦ κατασκευάσματος τῷ Σολόμωνι λαμπρότητα χρυσίου μὲν εἴκοσι καὶ ἑκατὸν ἔδωκε τάλαντα, τεμὼν δὲ καλλίστην ὕλην ἐκ τοῦ ὄρους, ὃ καλεῖται Λίβανος, εἰς τὸν ὄροφον ἀπέστειλεν. ἀντεδωρήσατο δὲ αὐτὸν[2] ὁ Σολόμων ἄλλοις τε πολλοῖς καὶ γῇ κατὰ χώραν
111 τῆς Γαλιλαίας ἐν τῇ Χαβουλὼν λεγομένῃ. μάλιστα δ' αὐτοὺς εἰς φιλίαν ἡ τῆς σοφίας συνῆγεν ἐπιθυμία· προβλήματα γὰρ ἀλλήλοις ἀνταπέστελλον λύειν κελεύοντες, καὶ κρείττων ἐν τούτοις ἦν ὁ Σολόμων ‹ὢν›[3] καὶ τἆλλα σοφώτερος. σώζονται δὲ μέχρι νῦν παρὰ τοῖς Τυρίοις πολλαὶ τῶν ἐπιστολῶν ἃς ἐκεῖνοι πρὸς ἀλλήλους ἔγραψαν.
112 Ὅτι δ' οὐ λόγος ἐστὶν ὑπ' ἐμοῦ συγκείμενος ὁ περὶ τῶν παρὰ τοῖς Τυρίοις γραμμάτων, παραθήσομαι μάρτυρα Δῖον, ἄνδρα περὶ τὴν Φοινικικὴν

[1] οὐκ ἀλόγως Eus.: om. L Lat.
[2] Naber: αὐτῷ L. The text of the whole sentence is doubtful.
[3] ins. Niese.

١١٢- وحتى لا يؤخذ حديثي هذا عن السجلات الفينيقية علي أنه محض اختلاق من جانبي، فإنني سوف أقدم برهانا علي (صحته) من نصوص المؤرخ ديوس[٨٠]، وهو رجل مشهود له بالدقة والكفاءة في سرد تاريخ الفينيقيين. ولقد دون هذا المؤرخ في كتابه التاريخي عن الفينيقيين معلومات علي النحو التالي:

١١٣- **"بعد وفاة الملك أبيبالوس (= أبي بعل) ارتقي ابنه حيروم العرش، وقام برصف الجزء الواقع جهة الشرق من المدينة وتسويته، كما جعل مساحة (المدينة) أكبر اتساعا بعد أن ضم إليها معبد الإله زيوس الأوليمبي الذي كان يقع منعزلاً في جزيرة (مجاورة). فقام بردم ذلك الجزء وأوصل المدينة بالمعبد، وزين المعبد بالهبات والنذور المصنوعة من الذهب. كذلك تنسم ذري جبل ليبانوس وحصل علي الأخشاب المقطوعة من غاباته من أجل تشييد المعبد.**

١١٤- **ويقال إن سليمان، ملك[٨١] أورشليم، قد أرسل إلى (الملك) حيروم ألغازاً وطلب منه إرسال ألغاز (مماثلة لها) بدوره إليه، شريطة أن يدفع من يعجز منهما عن حلها مبلغاً من المال لمن يفلح في التوصل إلى الحل.**

١١٥- **ولقد وافق حيروم علي ذلك، ولكنه عجز عن التوصل إلى حل الألغاز (المرسلة إليه)، وبناء علي ذلك قام بدفع مبالغ كبيرة من المال بمثابة غرامة. غير أن رجلا صورياً يدعي أبديموس (عبديمون)[٨٢] استطاع بعد فترة من الزمن ان يتوصل لحل (هذه الألغاز)، كما طرح بدوره ألغازا (أشد صعوبة) لم يتمكن (الملك) سليمان من الاهتداء لحلها، وبناء علي ذلك فقد دفع للملك حيروم بدوره نقودا طائلة".**

وعلي هذا النحو جاءت شهادة **ديوس** (لتؤكد) ما سبق أن أسلفناه.

الفصل الثامن عشر

١١٦- غير أنني سوف أستشهد - علاوة علي ما سبق - بنص للمؤرخ **مناندروس من إفسوس**[٨٣]، حيث إن هذا المؤرخ قد دون الأحداث التي وقعت في عهد كل واحد من الملوك، سواء في **البلاد الهيلّينية** أو **غير الهيلّينية**[٨٤]، وحرص علي أن يحصل علي ما يبغيه من معلومات تاريخية عن كل حالة منها من السجلات الرسمية الخاصة بها.

ἱστορίαν ἀκριβῆ γεγονέναι πεπιστευμένον. οὗτος τοίνυν ἐν ταῖς περὶ Φοινίκων ἱστορίαις γράφει τὸν
113 τρόπον τοῦτον· "Ἀβιβάλου τελευτήσαντος ὁ υἱὸς αὐτοῦ Εἴρωμος ἐβασίλευσεν. οὗτος τὰ πρὸς ἀνατολὰς μέρη τῆς πόλεως προσέχωσεν καὶ μεῖζον τὸ ἄστυ ἐποίησεν[1] καὶ τοῦ Ὀλυμπίου Διὸς τὸ ἱερόν, καθ' ἑαυτὸ ὂν ἐν νήσῳ, χώσας τὸν μεταξὺ τόπον συνῆψε τῇ πόλει καὶ χρυσοῖς ἀναθήμασιν ἐκόσμησεν, ἀναβὰς δὲ εἰς τὸν Λίβανον ὑλοτόμησεν πρὸς τὴν τῶν
114 ναῶν[2] κατασκευήν. τὸν δὲ τυραννοῦντα Ἱεροσολύμων Σολομῶνα πέμψαι φασὶ πρὸς τὸν Εἴρωμον αἰνίγματα καὶ παρ' αὐτοῦ λαβεῖν ἀξιοῦν, τὸν δὲ μὴ δυνηθέντα διακρῖναι τῷ λύσαντι χρήματα ἀπο-
115 τίνειν. ὁμολογήσαντα δὲ τὸν Εἴρωμον καὶ μὴ δυνηθέντα λῦσαι τὰ αἰνίγματα πολλὰ τῶν χρημάτων εἰς τὸ ἐπιζήμιον ἀναλῶσαι. εἶτα δὲ[3] Ἀβδήμουνόν τινα Τύριον ἄνδρα τὰ προτεθέντα λῦσαι καὶ αὐτὸν ἄλλα προβαλεῖν, ἃ μὴ λύσαντα τὸν Σολομῶνα πολλὰ τῷ Εἰρώμῳ προσαποτῖσαι χρήματα." Δῖος μὲν οὖν οὕτω περὶ τῶν προειρημένων ἡμῖν μεμαρτύρηκεν.
116 (18) Ἀλλὰ πρὸς τούτῳ παραθήσομαι καὶ Μένανδρον τὸν Ἐφέσιον. γέγραφεν δὲ οὗτος τὰς ἐφ' ἑκάστου τῶν βασιλέων πράξεις τὰς παρὰ τοῖς Ἕλλησι καὶ βαρβάροις γενομένας, ἐκ τῶν παρ' ἑκάστοις[4] ἐπιχωρίων γραμμάτων σπουδάσας τὴν ἱστορίαν μαθεῖν.
117 γράφων τοίνυν[5] περὶ τῶν ἐν Τύρῳ βεβασιλευκότων, ἔπειτα γενόμενος κατὰ τὸν Εἴρωμον ταῦτά φησι·

[1] πεποίηκεν L.
[2] ἱερῶν Eus. and Jos. *Ant.* viii. 147.
[3] δὴ L.
[4] Eus., Lat.: ἐκείνοις L.
[5] Eus.: δὴ L.

١١٧- وعندما كان (هذا المؤرخ) يكتب عن ملوك **صور**، ووصل إلى عهد الملك **حيروم** سرد علينا ما يلي:

"**بعد وفاة (الملك) أبي بعل، آل الملك من بعده إلى ابنه حيروم الذي عاش لمدة ثلاث وخمسين سنة، حكم البلاد منها لمدة أربعة وثلاثين عاماً.**

١١٨- **ولقد قام هذا (الملك) بردم المنطقة الفسيحة(٨٥)، وأقام عموداً ذهبياً كقربان في معبد (الإله) زيوس(٨٦)، وذهب لقطع الأشجار من الغابات الواقعة علي جبل ليبانوس للحصول علي كتل من أخشاب الأرز من أجل (استخدامها في بناء) أسقف المعابد، وهدم المعابد القديمة وبني محلها معابد جديدة، وخصصها لكل من الإله هيراكليس (= هرقل) والربة إستارتي (= عشتروت).**

١١٩- **ولقد شيد معبد هرقل أولا، وكان ذلك خلال شهر بيريتيوس[٨٧]. ولقد جهز حملة حربية لقتال أهل أتيكا (=أوتيكا) الذين رفضوا دفع الخراج والجزية، ولم يعد إلى وطنه إلا بعد أن قام بإخضاعهم لسلطته.**

١٢٠- **وكان يعيش في عهده شاب صغير السن يدعي أبديمونوس (=عبديمون)، ظل يفوز علي الدوام (ويتوصل لحل) الألغاز التي اعتاد سليمان، ملك أورشليم، أن يطرحها عليه لحلها".**

١٢١- ولقد كان حساب المدة الزمنية الواقعة - ابتداءً من حكم هذا الملك حتي تأسيس مدينة **قرطاجة** - يتم علي النحو التالي:

بعد وفاة الملك **حيروم**[٨٨] آل الملك من بعده إلى ولده **بالبازيروس (= بالبعازر)**، الذي عاش لمدة ثلاثة وأربعين عاماً حكم البلاد منها سبعة عشر عاماً.

١٢٢- ثم خلفه علي العرش ابنه **أبداستراتوس (= عبد اصطرات)** الذي عاش لمدة تسع وثلاثين سنة، حكم البلاد منها تسع سنوات. ولقد تآمر عليه أبناء مربيته الأربعة فاغتالوه، ومن ثم ارتقي أكبرهم سنا، وهو المدعو **ميثوساستراتوس** بن **ديلياستراتوس**، العرش وعاش لمدة أربع وخمسين سنة، حكم البلاد منها اثنتي عشرة سنة.

"τελευτήσαντος δὲ Ἀβιβάλου διεδέξατο τὴν βασι-
λείαν αὐτοῦ ὁ υἱὸς Εἴρωμος, ὃς βιώσας ἔτη νγ'
118 ἐβασίλευσεν ἔτη λδ'. οὗτος ἔχωσε τὸν Εὐρύχωρον
τόν τε χρυσοῦν κίονα τὸν ἐν τοῖς τοῦ Διὸς ἀνέθηκεν,
ἐπί τε[1] ὕλην ξύλων ἀπελθὼν ἔκοψεν ἀπὸ τοῦ λεγο-
μένου ὄρους Λιβάνου κέδρινα ξύλα εἰς τὰς τῶν
ἱερῶν στέγας, καθελών τε τὰ ἀρχαῖα ἱερὰ καινοὺς
ναοὺς[2] ᾠκοδόμησεν τόν τε τοῦ Ἡρακλέους καὶ τῆς
119 Ἀστάρτης,[3] πρῶτόν τε τοῦ Ἡρακλέους ἔγερσιν
ἐποιήσατο ἐν τῷ Περιτίῳ μηνί·[4] τοῖς τε Ἰτυκαίοις[5]
ἐπεστράτευσατο μὴ ἀποδιδοῦσι τοὺς φόρους, οὓς
120 καὶ ὑποτάξας ἑαυτῷ πάλιν ἀνέστρεψεν. ἐπὶ τούτου
ἦν Ἀβδήμουνος παῖς νεώτερος, ὃς ἀεὶ ἐνίκα[6] τὰ
προβλήματα, ἃ ἐπέταττε Σολομὼν ὁ Ἱεροσολύμων
121 βασιλεύς." ψηφίζεται δὲ ὁ χρόνος ἀπὸ τούτου τοῦ
βασιλέως ἄχρι τῆς Καρχηδόνος κτίσεως οὕτως·
τελευτήσαντος Εἰρώμου διεδέξατο τὴν βασιλείαν
Βαλβάζερος[7] υἱός, ὃς βιώσας ἔτη μγ' ἐβασίλευσεν
122 ἔτη ιζ'.[8] μετὰ τοῦτον Ἀβδάστρατος υἱὸς βιώσας
ἔτη λθ' ἐβασίλευσεν ἔτη θ'. τοῦτον οἱ τῆς τροφοῦ
αὐτοῦ υἱοὶ τέσσαρες ἐπιβουλεύσαντες ἀπώλεσαν, ὧν
ὁ πρεσβύτερος ἐβασίλευσεν[9] Μεθουσάσταρτος ὁ
Δελαιαστάρτου, ὃς βιώσας ἔτη νδ' ἐβασίλευσεν
123 ἔτη ιβ'. μετὰ τοῦτον ὁ ἀδελφὸς αὐτοῦ Ἀσθάρυμος

[1] ἐπί τε Eus. (Lat.): ἔπειτα L: ἔτι δὲ Jos. *Ant.* viii. 145.
[2] καινοὺς ναοὺς Dind.: καὶ ναοὺς L.
[3] + τέμενος ἀνιέρευσεν L. [4] + εἶτα τὸ τῆς Ἀστάρτης L.
[5] τοῖς τε Ἰτ. Gutschmid (*cf. Ant.* viii. 146): ὁπότε Τιτυοῖς L.
[6] + λύων Eus.
[7] Βαλεάζερος L. [8] ἑπτὰ L Lat.
[9] + ἔτη δεκαδύο and (for Μεθ.) μεθ' οὓς Ἄσταρτος L.

123- ثم جاء من بعده أخوه **أسثاريموس**، الذي عاش ثمان وخمسين سنة، حكم البلاد منها تسع سنوات. ثم أقدم شقيقه **فيّليس** علي اغتياله، وارتقي العرش وحكم البلاد لمدة ثمانية شهور، رغم أنه عاش حتى سن الخمسين من عمره. غير أن شقيقه **إيثوبالوس** (= **إيتوبعل**)، كاهن الربة **عشتروت**، سولت له نفسه قتل أخيه. وعاش **إيتوبعل** ثمانية وأربعين عاماً، حكم البلاد منها لمدة اثنين وثلاثين عاماً.

١٢٤- ثم خلفه علي العرش ابنه **باليزوروس** (= **بعل زور**) الذي عاش لمدة خمس وأربعين سنة، حكم البلاد منها ست سنوات.

١٢٥- ثم أعقبه علي العرش ابنه **ميتينوس** (= **ميتين**) الذي عاش لمدة اثنين وثلاثين عاماً، حكم البلاد منها لمدة تسع وعشرين سنة. وتولي الحكم من بعده خلفه **بيجماليون** الذي عاش لمدة ثمان وخمسين سنة، حكم البلاد منها لمدة سبع وأربعين سنة، وفي السنة السابعة من حكم هذا الملك (الأخير) لاذت أخته[٨٩] بالفرار، ثم أسست مدينة **قرطاجة** في ليبيا.

١٢٦- وعلي هذا النحو (الذي سردناه) فإن إجمالي المدة الواقعة بين ارتقاء **حيروم** العرش وبين تأسيس مدينة **قرطاجة**، يبلغ مائة وخمس وخمسين عاماً وثمانية أشهر[٩٠]. وحيث إن بناء معبد **أورشليم** قد تم في السنة الثانية عشرة من حكم الملك **حيروم**[٩١]، فإن مدة مقدارها مائة وثلاث وأربعين سنة وثمانية أشهر تكون قد انقضت، منذ إنشاء المعبد حتى تأسيس مدينة **قرطاجة**.

١٢٧- فهل هناك ضرورة لإيراد دليل من لدن **الفينيقيين** أقوى من هذا؟ إذ يكفي اتفاق المصادر فيما بينها كدليل قوي ينهض علي صحتها وصدقها. وليس هناك أدني شك في أن وصول أسلافنا القدامى إلي هذه البلاد كان قد حدث منذ زمن طويل قبل بناء المعبد، ذلك أنه لم يكن بوسعهم أن يقوموا بإنشائه قبل أن يستتب الأمر لهم، وتتسني لهم هزيمة المنطقة بأسرها في ميدان الحرب. ولقد (سبق أن) تم لي إيضاح (الحقائق المستمدة) من السجلات المقدسة وسردها بوضوح في كتابي عن **آثار (اليهود) القديمة**[٩٢].

βιώσας ἔτη νη′ ἐβασίλευσεν ἔτη θ′. οὗτος ἀπ-
ώλετο ὑπὸ τοῦ ἀδελφοῦ Φέλλητος, ὃς λαβὼν τὴν
βασιλείαν ἦρξεν μῆνας η′ βιώσας ἔτη ν′. τοῦτον
ἀνεῖλεν Ἰθόβαλος ὁ τῆς Ἀστάρτης ἱερεύς, ὃς
124 βιώσας ἔτη μη′ ἐβασίλευσεν ἔτη λβ′. τοῦτον διεδέ-
ξατο Βαλέζωρος υἱός, ὃς βιώσας ἔτη με′ ἐβασίλευσεν
125 ἔτη ἕξ.[1] τούτου διάδοχος. γέγονε Μέττηνος[2] υἱός,
ὃς βιώσας ἔτη λβ′ ἐβασίλευσεν ἔτη κθ′.[3] τούτου
διάδοχος γέγονεν Πυγμαλίων, ὃς βιώσας ἔτη νη′[4]
ἐβασίλευσεν ἔτη μζ′. ἐν δὲ τῷ ἐπ' αὐτοῦ ἑβδόμῳ
ἔτει ἡ ἀδελφὴ αὐτοῦ φυγοῦσα ἐν τῇ Λιβύῃ πόλιν
ᾠκοδόμησεν Καρχηδόνα.

126 Συνάγεται [δὴ][5] πᾶς ὁ χρόνος ἀπὸ τῆς Εἰρώμου
βασιλείας μέχρι Καρχηδόνος κτίσεως ἔτη ρνε′
μῆνες η′. ἐπεὶ δὲ δωδεκάτῳ ἔτει τῆς αὐτοῦ βασι-
λείας ὁ ἐν Ἱεροσολύμοις ᾠκοδομήθη ναός, γέγονεν
ἀπὸ τῆς οἰκοδομήσεως τοῦ ναοῦ μέχρι Καρχηδόνος
κτίσεως ἔτη ρμγ′ μῆνες η′.

127 Τῆς μὲν οὖν παρὰ Φοινίκων μαρτυρίας τί δεῖ
προσθεῖναι πλέον; βλέπεται γὰρ τἀληθὲς ἰσχυρῶς
ὡμολογημένον. καὶ πολὺ δήπου προάγει τῆς τοῦ
νεὼ κατασκευῆς ἡ τῶν προγόνων ἡμῶν εἰς τὴν
χώραν ἄφιξις· ὅτε γὰρ αὐτὴν πᾶσαν πολέμῳ παρ-
έλαβον, τότε τὸν νεὼν κατεσκεύασαν. καὶ ταῦτα
σαφῶς ἐκ τῶν ἱερῶν γραμμάτων ὑπ' ἐμοῦ δεδήλω-
ται διὰ τῆς ἀρχαιολογίας.

[1] η′ (elsewhere ιη′) Eus.: ζ′ Theophilus.
[2] Μάττηνος L. [3] *v.ll.* ἐννέα L, ὀκτώ, κε′.
[4] νϛ′ L Lat. [5] ins. *ed. pr.*

الفصل التاسع عشر

١٢٨- أما الآن فلسوف أمضي قُدماً في سرد (الشواهد) الواردة عنَّا في سجلات **الكلدانيين** ومؤلفاتهم التاريخية. وهي (شواهد) تتطابق في كثير من عناصرها مع المعلومات المدونة في سجلاتنا عن (الشعوب) الأخرى.

١٢٩- وشاهدي علي هذه المعلومات هو **بيروسّوس**[٩٣]، وهو شخص كلداني المولد ولكنه معروف في الأوساط المشتغلة بالعلم والمهتمة به، حيث إنه نشر في أوساط قرائه الإغريق أعمالاً وكتباً عن علم الفلك والفلسفة لدي **الكلدانيين**.

١٣٠- وكان **بيروسّوس** هذا يحذو حذو السجلات البالغة القدم، وبالتالي فإنه كان مثل **موسي** (عليه السلام) يسرد حادثة الطوفان والدمار الذي حاق بالجنس البشري إبانه، ويتحدث عن السفينة التي تم بواسطتها إنقاذ **نوح** (عليه السلام)، مؤسس جنسنا، عندما رست به علي ذري الجبال **الأرمينية**[٩٤].

١٣١- ثم يقوم (هذا المؤرخ) من بعد ذلك بالحديث عن سلالة **نوح** وذريته، ويحدد عصور كل أمة (من الأمم) حتي يصل إلي عهد **نابوبلاسار**، ملك **بابل وكلدانيا**.

١٣٢- وفي معرض وصفه **لإنجازات** ذلك (الملك) يخبرنا (هذا المؤرخ) بالطريقة التي أوفد بها ابنه **نبوخذ نصر** بجيش عرمرم إلي كل من مصر وبلادنا، عندما علم أن الشعوب في هذين البلدين قد قامت بثورة. ويقص علينا كيف هزمهم (ابنه هذا) على بكرة أبيهم، وكيف أحرق المعبد المقام في **أورشليم**[٩٥]، وكيف أجبر شعبنا بأسره علي ترك وطنه والانتقال إلي **بابل**. وترتب علي ذلك أن ظلت مدينة (**أورشليم**) خاوية علي عروشها، لمدة بلغت سبعين عاماً حتى عهد **قورش**، ملك الفرس.

١٣٣- كما يذكر لنا أن (**هذا الملك**) قد بسط سيطرته علي بابل ومصر وسوريا وفينيقيا وبلاد العرب، وأن إنجازاته قد فاقت إنجازات ملوك كلدانيا وبابل الذين سبقوه[٩٦].

128 (19) Λέξω δὲ νῦν ἤδη τὰ παρὰ Χαλδαίοις ἀναγεγραμμένα καὶ ἱστορούμενα περὶ ἡμῶν, ἅπερ ἔχει πολλὴν ὁμολογίαν καὶ περὶ τῶν ἄλλων τοῖς ἡμετέ-
129 ροις γράμμασι. μάρτυς δὲ τούτων Βηρῶσος, ἀνὴρ Χαλδαῖος μὲν τὸ γένος, γνώριμος δὲ τοῖς περὶ παιδείαν ἀναστρεφομένοις, ἐπειδὴ περί τε ἀστρονομίας καὶ περὶ τῶν παρὰ Χαλδαίοις φιλοσοφουμένων αὐτὸς εἰς τοὺς Ἕλληνας ἐξήνεγκε τὰς συγγραφάς.
130 οὗτος τοίνυν ὁ Βηρῶσος ταῖς ἀρχαιοτάταις ἐπακολουθῶν ἀναγραφαῖς περί τε τοῦ γενομένου κατακλυσμοῦ καὶ τῆς ἐν αὐτῷ φθορᾶς τῶν ἀνθρώπων, καθάπερ Μωυσῆς, οὕτως ἱστόρηκεν καὶ περὶ τῆς λάρνακος, ἐν ᾗ Νῶχος ὁ τοῦ γένους ἡμῶν ἀρχηγὸς διεσώθη προσενεχθείσης αὐτῆς ταῖς ἀκρωρείαις
131 τῶν Ἀρμενίων ὀρῶν. εἶτα τοὺς ἀπὸ Νώχου καταλέγων καὶ τοὺς χρόνους αὐτοῖς προστιθεὶς ἐπὶ Ναβοπαλάσσαρον παραγίνεται, τὸν Βαβυλῶνος καὶ Χαλ-
132 δαίων βασιλέα, καὶ τὰς τούτου πράξεις ἀφηγούμενος λέγει τίνα τρόπον πέμψας ἐπὶ τὴν Αἴγυπτον καὶ ἐπὶ τὴν ἡμετέραν γῆν τὸν υἱὸν τὸν ἑαυτοῦ Ναβουχοδονόσορον[1] μετὰ πολλῆς δυνάμεως, ἐπειδήπερ ἀφεστῶτας αὐτοὺς ἐπύθετο,[2] πάντων ἐκράτησε καὶ τὸν ναὸν ἐνέπρησε τὸν ἐν Ἱεροσολύμοις, ὅλως τε πάντα τὸν παρ' ἡμῶν λαὸν ἀναστήσας εἰς Βαβυλῶνα μετῴκισεν· συνέβη δὲ καὶ τὴν πόλιν ἐρημωθῆναι χρόνον ἐτῶν ἑβδομήκοντα μέχρι Κύρου
133 τοῦ Περσῶν βασιλέως. κρατῆσαι δέ φησι τὸν Βαβυλώνιον Αἰγύπτου Συρίας Φοινίκης Ἀραβίας, πάντας ὑπερβαλόμενον ταῖς πράξεσι τοὺς πρὸ

[1] Ναβοκοδρόσορον (after Eus.) Niese; and so below.
[2] Emend. (after Eus. and Lat.) L. Bos: ὑπέθετο L.

١٣٤- غير أنني أزمع أن اقتبس هنا نص ما سرده بيروسّوس في هذا الصدد، وهذا النص يسير علي النحو التالي[٤٧]:

١٣٥- "وعندما تناهي إلي سمع (الملك) نابوبلاساروس أن الوالي الذي عينه من لدنه، علي مصر وعلي مناطق جوف سوريا وفينيقيا، قد شق عليه عصا الطاعة ورفع لواء العصيان ضده - وحيث إنه هو نفسه كان لا يزال عاجزاً (بسبب مرضه) عن تحمل آلام الحرب ومشقتها - فقد عهد إلي ابنه نبوخذ نصر، الذي كان لا يزال عندئذ في ميعة الصبا وريعان الشباب، بشطر من الجيش وبعث به لملاقاة ذلك (الوالي).

١٣٦- فالتحم نبوخذ نصر مع هذا الثائر المتمرد في معركة التقي فيها الجيشان، وتمكن من دحره وبسط هيمنة الملوك (البابليين) علي البلاد التي كانوا يسيطرون عليها منذ البدء. ثم حدث في تلك الأثناء أن سقط والده الملك نابوبلاساروس فريسة للمرض، ورحل عن الحياة في مدينة بابل بعد أن حكم لمدة واحد وعشرين عاماً.

١٣٧- وعندما علم نبوخذ نصر بوفاة والده بعد فترة غير طويلة، بادر إلي تسوية الأمور ووضعها في نصابها في مصر وفي سائر البلاد الأخرى، كما وضع الأسرى من اليهود والفينيقيين والسوريين وأولئك المنتمين إلي الجنسية المصرية تحت إمرة نفر من أصفيائه المخلصين، (وأصدر أوامره إليهم) بأن يقتادوهم إلى بابل مصحوبين بقوات ذات عتاد بالغ الثقل وبما تبقى من الغنائم والأسلاب، أما هو فقد انطلق مع حامية صغيرة العدد شاقاً طريقه (إلي عاصمة ملكه) عبر صحراء بابل.

١٣٨- وهناك وجد أن شئون إدارة الحكم مستتبة في أيدي الكلدانيين، وأن المملكة والعرش محفوظين له في أيدي أعلى النبلاء قدراً ومقاماً. وعندما آلت إليه كافة سلطات أبيه في الحكم، أصدر أوامره بأن تمنح للأسرى - فور وصولهم - مستوطنات في أكثر مواضع بابل صلاحية وامتيازاً.

αὐτοῦ[1] Χαλδαίων καὶ Βαβυλωνίων βεβασιλευκότας.
134 [εἶθ' ἑξῆς· ὑποκαταβὰς ὀλίγον ὁ Βηρῶσος πάλιν παρατίθεται ἐν τῇ τῆς ἀρχαιότητος ἱστοριογραφίᾳ.][2] αὐτὰ δὲ παραθήσομαι τὰ τοῦ Βηρώσου
135 τοῦτον ἔχοντα τὸν τρόπον· "ἀκούσας δ' ὁ πατὴρ αὐτοῦ Ναβοπαλάσαρος ὅτι ὁ τεταγμένος σατράπης ἔν τε Αἰγύπτῳ καὶ τοῖς περὶ τὴν Συρίαν τὴν Κοίλην καὶ τὴν Φοινίκην τόποις ἀποστάτης γέγονεν, οὐ δυνάμενος αὐτὸς ἔτι κακοπαθεῖν, συστήσας τῷ υἱῷ Ναβουχοδονοσόρῳ ὄντι ἔτι ἐν ἡλικίᾳ μέρη τινὰ
136 τῆς δυνάμεως ἐξέπεμψεν ἐπ' αὐτόν. συμμίξας δὲ Ναβουχοδονόσορος τῷ ἀποστάτῃ καὶ παραταξάμενος αὐτοῦ τ' ἐκυρίευσε καὶ τὴν χώραν ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτῶν[3] βασιλείαν ἐποιήσατο. τῷ τε πατρὶ αὐτοῦ συνέβη Ναβοπαλασάρῳ κατὰ τοῦτον τὸν καιρὸν ἀρρωστήσαντι ἐν τῇ Βαβυλωνίων πόλει μεταλλάξαι τὸν βίον ἔτη βεβασιλευκότι κα'.[4]
137 αἰσθόμενος δὲ μετ' οὐ πολὺ τὴν τοῦ πατρὸς τελευτὴν Ναβουχοδονόσορος, καταστήσας τὰ κατὰ τὴν Αἴγυπτον πράγματα καὶ τὴν λοιπὴν χώραν, καὶ τοὺς αἰχμαλώτους Ἰουδαίων τε καὶ Φοινίκων καὶ Σύρων [καὶ] τῶν κατὰ τὴν Αἴγυπτον ἐθνῶν συντάξας τισὶ τῶν φίλων μετὰ τῆς βαρυτάτης δυνάμεως καὶ τῆς λοιπῆς ὠφελείας ἀνακομίζειν εἰς τὴν Βαβυλωνίαν, αὐτὸς ὁρμήσας ὀλιγοστὸς παρεγένετο
138 διὰ τῆς ἐρήμου εἰς Βαβυλῶνα. καταλαβὼν δὲ τὰ πράγματα διοικούμενα ὑπὸ Χαλδαίων καὶ διατηρουμένην τὴν βασιλείαν ὑπὸ τοῦ βελτίστου αὐτῶν, κυριεύσας[5] ὁλοκλήρου τῆς πατρικῆς ἀρχῆς τοῖς μὲν αἰχμαλώτοις παραγενομένοις συνέταξεν[6] ἀποικίας

[1] *ed. pr.*: αὐτῶν **L.**

١٣٩- ثم إنه شرع بعد ذلك في تزيين معبد (الإله بعل) والمعابد الأخرى بترف وفخامة (بالغيْن) من أسلاب الحرب التي غنمها، كما قام بالإبقاء علي المدينة (القديمة) القائمة منذ البدء، ولكنه أضاف إليها مدينة أخرى (جديدة) خارج (الأسوار). ولكي يحول بين هذه المدينة وبين الغزاة - الذين يمكنهم الوصول إليها عن طريق تحويل مجري النهر- فقد سد كلا من المدينة الداخلية والمدينة الخارجية بواسطة ثلاثة حوائط من المتاريس لكل مدينة منهما، وحرص علي أن تكون هذه المتاريس في المدينة الداخلية مصنوعة من الطين المحروق والبيتومين (= الأسفلت)، وأن تكون في المدينة الخارجية مشيدة من الطوب اللبن.

١٤٠- وبعد أن أتم تحصين المدينة علي هذا النحو الذي يستحق الإشادة، وبعد أن قام بتزيين بواباتها بطريقة تليق بقدسيتها، شيد مقراً آخر يجاور قصر والده ويرتبط به في آن واحد. وربما يكون من نافلة القول أن يمضي الإنسان في وصف ارتفاع هذا (القصر الشاهق) وفخامة مقتنياته الأخرى، كما قد يكون من المبالغة (أن نذكر) أن هذا القصر رغم حجمه الهائل وفخامته التي لا مثيل لها، لم يستغرق تشييده سوي خمسة عشر يوماً.

١٤١- ولقد بني (الملك) في هذين القصرين شرفات حجرية شامخة، نجح عن طريقها في خلق مشهد قريب الشبه جداً بالطبيعة الجبلية، وزرع فيها نباتات من كل نوع وصنف، وشيد فيها كذلك ما يعرف باسم "الحدائق المعلقة"[٩٨]، لأن زوجته التي نشأت وترعرعت في مناطق بلاد ميديا كانت تتوق شوقا إلى (مشاهدة) المناظر الجبلية".

ἐν τοῖς ἐπιτηδειοτάτοις τῆς Βαβυλωνίας τόποις
139 ἀποδεῖξαι, αὐτὸς δ' ἀπὸ τῶν ἐκ τοῦ πολέμου λαφύρων τό τε Βήλου ἱερὸν καὶ τὰ λοιπὰ κοσμήσας φιλοτίμως τήν τε ὑπάρχουσαν ἐξ ἀρχῆς πόλιν †καὶ ἑτέραν ἔξωθεν προσχαρισάμενος καὶ ἀναγκάσας,†[1] πρὸς τὸ μηκέτι δύνασθαι τοὺς πολιορκοῦντας τὸν ποταμὸν ἀναστρέφοντας ἐπὶ τὴν πόλιν κατασκευάζειν,[2] περιεβάλετο τρεῖς μὲν τῆς ἔνδον πόλεως περιβόλους, τρεῖς δὲ τῆς ἔξω, τούτων [δὲ] τοὺς μὲν ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου, τοὺς δὲ ἐξ αὐτῆς τῆς πλίν-
140 θου. καὶ τειχίσας ἀξιολόγως τὴν πόλιν καὶ τοὺς πυλῶνας κοσμήσας ἱεροπρεπῶς προσκατεσκεύασεν τοῖς πατρικοῖς βασιλείοις ἕτερα βασίλεια ἐχόμενα ἐκείνων, ὧν[3] τἀνάστημα[4] καὶ τὴν λοιπὴν πολυτέλειαν μακρὸν ἴσως ἔσται ἐάν τις ἐξηγῆται, πλὴν ὄντα γε ὑπερβολὴν ὡς μεγάλα καὶ ὑπερήφανα συν-
141 ετελέσθη ἡμέραις δεκάπεντε. ἐν δὲ τοῖς βασιλείοις τούτοις ἀναλήμματα λίθινα ὑψηλὰ ἀνοικοδομήσας καὶ τὴν ὄψιν ἀποδοὺς ὁμοιοτάτην τοῖς ὄρεσι, καταφυτεύσας δένδρεσι παντοδαποῖς, ἐξειργάσατο καὶ κατεσκεύασε τὸν καλούμενον κρεμαστὸν παράδεισον διὰ τὸ τὴν γυναῖκα αὐτοῦ ἐπιθυμεῖν τῆς ὀρείας διαθέσεως τεθραμμένην ἐν τοῖς κατὰ τὴν Μηδίαν τόποις."

142 (20) Ταῦτα μὲν οὕτως[5] ἱστόρηκεν περὶ τοῦ προειρημένου βασιλέως καὶ πολλὰ πρὸς τούτοις ἐν τῇ τρίτῃ βίβλῳ τῶν Χαλδαϊκῶν, ἐν ᾗ μέμφεται τοῖς Ἕλλη-

[1] Text corrupt. Perhaps for ἀναγκάσας read ἀνακαινίσας with two mss. of *A.* (or ἀναχώσας Gutschmid), omit the preceding καὶ and transpose the participle after πόλιν. For προσχαρισ. προσοχυρισάμενος has been suggested (Herwerden).
[2] *accedere* Lat.

الفصل العشرون

١٤٢- علي هذا النحو جاءت رواية (**بيروسّوس**) عن هذا الملك الذي سلف ذكره، وهناك الكثير بالإضافة لهذا (يرد) في الكتاب الثالث (من تاريخه) عن **الكلدانيين**، حيث ينحي (**بيروسّوس**) باللائمة علي كتاب التاريخ الإغريق[٩٩]، وكيف صور لهم فكرهم الذي لا طائل منه أن تأسيس بابل قد تم علي يد **سميراميس**، (ملكة) **آشور**، وكيف أنهم دونوا زيفاً وبهتاناً أن تلك (المباني) الباهرة (في بابل) كانت من إنشائها.

١٤٣- غير أن رواية **الكلدانيين** ليست هي الرواية (الوحيدة) التي ينبغي علينا اعتبارها جديرة بالثقة، ففي الحق أن هناك (روايات) أخرى تتفق مع رواية **بيروسّوس**، تم تدوينها في **السجلات الفينيقية** الرسمية، وهي (تتحدث) عن ملك **البابليين**، وتروي لنا أنه قد أخضع سوريا واستولي علي فينيقيا بأسرها.

١٤٤- ويتفق مع هذه (الروايات) حقاً وصدقاً **فيلوستراتوس**[١٠٠] الذي ذكر في تاريخه (واقعة) حصار **صور**، وكذا **ميجاسثينيس**[١٠١] في الجزء الرابع من كتابه عن **تاريخ الهند**، حيث يحاول أن يبرهن علي أن ملك بابل المذكور سلفاً يبز **هيراكليس** (**هرقل**) في بسالته وعظمة أعماله، ذلك إن (هذا المؤرخ) يقول إن هذا (الملك) قد بسط نفوذه علي الشطر الأكبر من ليبيا وعلي **إيبيريا**[١٠٢].

١٤٥- ولسوف تتم البرهنة على صحة الروايات التي تم سردها سلفاً[١٠٣] عن المعبد الكائن في **أورشليم**، والتي تذكر أنه قد تم إحراقه علي يد الغزاة البابليين، وأنه قد تم الشروع في إعادة بنائه من جديد عندما ارتقي **قورش** عرش آسيا؛ أجل سوف نبرهن على صحة هذه الروايات بكل جلاء عن طريق سرد مقتطفات أخرى من تاريخ **بيروسّوس**.

١٤٦- ذلك أنه يحدثنا في الجزء الثالث من مؤلفه التاريخي علي النحو التالي:

"بعد أن بدأ (الملك) نبوخذ نصر (في تشييد) السور الذي سبق أن ذكرناه أعلاه، سقط فريسة للمرض، وما لبث أن فارق الحياة بعد أن حكم لمدة ثلاث وأربعين سنة، وآل ملك المملكة من بعده إلى ابنه يوئيل مردوخ.

νικοῖς συγγραφεῦσιν ὡς μάτην οἰομένοις ὑπὸ Σεμιράμεως τῆς Ἀσσυρίας κτισθῆναι τὴν Βαβυλῶνα καὶ τὰ θαυμάσια κατασκευασθῆναι περὶ αὐτὴν ὑπ'
143 ἐκείνης ἔργα ψευδῶς γεγραφόσι. καὶ κατὰ ταῦτα τὴν μὲν τῶν Χαλδαίων ἀναγραφὴν ἀξιόπιστον ἡγητέον· οὐ μὴν ἀλλὰ κἀν τοῖς ἀρχείοις τῶν Φοινίκων σύμφωνα τοῖς ὑπὸ Βηρώσου λεγομένοις ἀναγέγραπται περὶ τοῦ τῶν Βαβυλωνίων βασιλέως, ὅτι καὶ τὴν Συρίαν καὶ τὴν Φοινίκην ἅπασαν ἐκεῖνος
144 κατεστρέψατο. περὶ τούτων γοῦν συμφωνεῖ καὶ Φιλόστρατος ἐν ταῖς ἱστορίαις μεμνημένος τῆς Τύρου πολιορκίας, καὶ Μεγασθένης ἐν τῇ τετάρτῃ τῶν Ἰνδικῶν, δι' ἧς ἀποφαίνειν πειρᾶται τὸν προειρημένον βασιλέα τῶν Βαβυλωνίων Ἡρακλέους ἀνδρείᾳ καὶ μεγέθει πράξεων διενηνοχέναι· καταστρέψασθαι γὰρ αὐτόν φησι καὶ Λιβύης τὴν πολλὴν καὶ Ἰβηρίαν.

145 Τὰ δὲ περὶ τοῦ ναοῦ προειρημένα τοῦ ἐν Ἱεροσολύμοις, ὅτι κατεπρήσθη μὲν ὑπὸ τῶν Βαβυλωνίων ἐπιστρατευσάντων, ἤρξατο δὲ πάλιν ἀνοικοδομεῖσθαι Κύρου τῆς Ἀσίας τὴν βασιλείαν παρειληφότος, ἐκ τῶν Βηρώσου σαφῶς ἐπιδειχθήσεται παρα-
146 τεθέντων· λέγει γὰρ οὕτως διὰ τῆς τρίτης· " Ναβουχοδονόσορος μὲν οὖν μετὰ τὸ ἄρξασθαι τοῦ προειρημένου τείχους ἐμπεσὼν εἰς ἀρρωστίαν μετήλλαξε τὸν βίον βεβασιλευκὼς ἔτη μγ', τῆς δὲ βασιλείας κύριος ἐγένετο ὁ υἱὸς αὐτοῦ Εὐειλμαράδουχος.

١٤٧- وكانت إدارة هذا (الملك) لشئون البلاد تفتقر إلى العدالة وتتسم بالإباحية، لذا فقد سقط فريسة لمؤامرة وتم اغتياله علي يد زوج أخته نيريجليساروس بعد أن مكث في الحكم عامين (فقط). وبعد اغتياله خلفه علي العرش مدبر المؤامرة (ومغتاله) نيريجليساروس الذي حكم البلاد لمدة أربعة أعوام.

١٤٨- وجاء من بعده ابنه لابوروسو أردوخ الذي تربع علي عرش المملكة لمدة تسعة شهور وكان مجرد صبي، وبسبب ما أقدم عليه من أفعال سيئة وما أظهره من سلوك مشين، تم نسج خيوط مكيدة ضده علي يد أصدقائه الذين أوسعوه ضرباً مبرحاً حتى أزهقوا روحه.

١٤٩- وبعد أن صعدت روح (هذا الملك الصبي) إلى بارئها، عقد المتآمرون عليه اجتماعا فيما بينهم، واتفقوا جميعا علي أن يمنحوا حكم المملكة لشخص يدعي نابونّيدوس، وهو بابلي من زمرتهم. وفي عهد الأخير تم (تشييد) أسوار مدينة بابل المطلة علي النهر والمحيطة به، وتم تزيينها بالطوب المحروق والبيتومين (=الأسفلت).

١٥٠- وفي خلال السنة السابعة عشرة من حكمه تقدم قورش من بلاد فارس مصحوبا بقوات حربية غفيرة، وبعد أن تسني له الاستيلاء علي ما تبقي من المملكة بأسرها اندفع صوب (مدينة) بابلونيا.

١٥١- وعندما علم نابونّيدوس بمقدمه (غازياً) بادر إلى لقائه علي رأس جيشه والاشتباك معه في المعركة، غير أنه هزم هزيمة (ماحقة ساحقة) في ساحة القتال، واضطر إلى الفرار مع شرذمة قليلة (من جيشه)، واتخذ له موقعا حصينا في مدينة بورسيبا[١٠٤].

١٥٢- أما قورش، فقد استولي على بابل ثم أصدر أوامره بهدم الأسوار الخارجية للمدينة، حيث (رأى) أنها تظهر المدينة في صورة بالغة القوة والمنعة والاستعصاء علي الاقتحام، وبعدها انطلق إلى بورسيبا لفرض الحصار علي نابونيدوس.

١٥٣- ولم يصمد نابونيدوس (طويلا) أمام الحصار بل استسلم مبكراً، ومن ثم عامله قورش معاملة زاخرة بالمشاعر الإنسانية والرحمة، ورغم أنه نفاه عن بابلونيا إلا أنه منحه كارمانيا[١٠٥] (كي تكون) مستقراً له ومقاماً.

ولقد أمضي نابونيدوس الشطر الأخير من عمره في هذه المنطقة إلي أن توفاه الله فيها".

147 οὗτος προστὰς τῶν πραγμάτων ἀνόμως καὶ ἀσελγῶς
ἐπιβουλευθεὶς ὑπὸ τοῦ τὴν ἀδελφὴν ἔχοντος αὐτοῦ
Νηριγλισάρου[1] ἀνῃρέθη βασιλεύσας ἔτη β'. μετὰ
δὲ τὸ ἀναιρεθῆναι τοῦτον διαδεξάμενος τὴν ἀρχὴν ὁ
ἐπιβουλεύσας αὐτῷ Νηριγλίσαρος ἐβασίλευσεν ἔτη
148 δ'. τούτου υἱὸς Λαβοροσοάρδοχος[2] ἐκυρίευσε μὲν
τῆς βασιλείας παῖς ὢν μῆνας θ', ἐπιβουλευθεὶς δὲ
διὰ τὸ πολλὰ ἐμφαίνειν κακοήθη ὑπὸ τῶν φίλων ἀπ-
149 ετυμπανίσθη. ἀπολομένου δὲ τούτου συνελθόντες
οἱ ἐπιβουλεύσαντες αὐτῷ κοινῇ τὴν βασιλείαν
περιέθηκαν Ναβοννήδῳ τινὶ τῶν ἐκ Βαβυλῶνος
ὄντι ἐκ τῆς αὐτῆς ἐπισυστάσεως. ἐπὶ τούτου τὰ
περὶ τὸν ποταμὸν τείχη τῆς Βαβυλωνίων πόλεως ἐξ
150 ὀπτῆς πλίνθου καὶ ἀσφάλτου κατεκοσμήθη. οὔσης
δὲ τῆς βασιλείας αὐτοῦ ἐν τῷ ἑπτακαιδεκάτῳ ἔτει
προεξεληλυθὼς Κῦρος ἐκ τῆς Περσίδος μετὰ δυνά-
μεως πολλῆς [καὶ][3] καταστρεψάμενος τὴν λοιπὴν
βασιλείαν[4] πᾶσαν ὥρμησεν ἐπὶ τῆς Βαβυλωνίας.
151 αἰσθόμενος δὲ Ναβόννηδος τὴν ἔφοδον αὐτοῦ,
ἀπαντήσας μετὰ τῆς δυνάμεως καὶ παραταξάμενος,
ἡττηθεὶς τῇ μάχῃ καὶ φυγὼν ὀλιγοστὸς συν-
152 εκλείσθη εἰς τὴν Βορσιππηνῶν πόλιν. Κῦρος δὲ
Βαβυλῶνα καταλαβόμενος καὶ συντάξας τὰ ἔξω
τῆς πόλεως τείχη κατασκάψαι διὰ τὸ λίαν αὐτῷ
πραγματικὴν καὶ δυσάλωτον φανῆναι τὴν πόλιν
ἀνέζευξεν ἐπὶ Βορσίππων[5] ἐκπολιορκήσων τὸν
153 Ναβόννηδον. τοῦ δὲ Ναβοννήδου οὐχ ὑπομείναντος
τὴν πολιορκίαν, ἀλλ' ἐγχειρίσαντος αὐτὸν πρότερον,
χρησάμενος Κῦρος φιλανθρώπως καὶ δοὺς οἰκητή-
ριον αὐτῷ Καρμανίαν ἐξέπεμψιεν ἐκ τῆς Βαβυ-

[1] Eus.: Νηριγλισσοροόρου L (and so below).
[2] Niese: -χοδος L.

الفصل الحادي والعشرون

١٥٤- هذه (المعلومات) تتوخي الصدق وتتفق مع ما ورد في كتبنا التي دون فيها أن (الملك) **نبوخذ نصر** - خلال السنة الثامنة عشرة من حكمه[١٠٦] - قد قام بجعل المعبد الكائن في بلدنا أثرا بعد عين، وأن ذلك (المعبد) قد ظل بلا وجود ولا تراه الأعين لمدة خمسين[*] عاما، وأن أساساته قد أقيمت (مرة أخرى) في السنة الثانية من حكم **قورش**[١٠٨]، وأن بناءه قد اكتمل في العام الثاني من حكم الملك **دارا**[١٠٩].

١٥٥- ورغم أنه لا ينبغي عليَّ إهمال ما تبقي من البراهين والأدلة، ولا غض النظر عنها رغم وفرتها، إلا أنني سوف أمضي قدماً - بناء علي ذلك - في إضافة المزيد من **الوثائق الفينيقية**[١١٠]، التي نجد الترتيب الزمني للسنوات يسير فيها علي النحو التالي:

١٥٦- **"إبان حكم الملك إيثوبعل[١١١] قام نبوخذ نصر بمحاصرة (مدينة) صور لمدة ثلاثة عشر عاماً[١١٢]. ثم خلفه علي العرش الملك بعل الذي حكم لمدة عشر سنوات.**

١٥٧- **ومن بعده تم تعيين (نفر من) القضاة تولوا الحكم، (أولهم) إكنيبعل بن باسليخ لمدة شهرين، ثم خلبيس بن أبدايوس لمدة عشرة شهور، ثم أبّاروس (= أبّار) الكاهن الأعظم لمدة ثلاثة شهور، ثم ميتينوس (= ميتين) وجيراستراتوس بن عبدليموس لمدة ست سنوات، ولقد تولي الملك أثناء هذه المدة الملك بالاتور لمدة عام واحد.**

١٥٨- **وبعد أن قضي هذا (الملك) نحبه أرسل (قومه الرسل) إلى بابل لاستدعاء مربال الذي تولي أمر المملكة وحكم لمدة أربع سنوات. وبعد وفاته أرسلوا في طلب أخيه حيروم الذي حكم بدوره لمدة عشرين عاماً، وفي خلال مدة حكمه أصبح قورش عاهلاً علي بلاد فارس.**

λωνίας. Ναβόννηδος μὲν οὖν τὸ λοιπὸν τοῦ χρόνου διαγενόμενος ἐν ἐκείνῃ τῇ χώρᾳ κατέστρεψε τὸν βίον."

154 (21) Ταῦτα σύμφωνον ἔχει ταῖς ἡμετέραις βίβλοις τὴν ἀλήθειαν. γέγραπται γὰρ ἐν αὐταῖς ὅτι Ναβουχοδονόσορος ὀκτωκαιδεκάτῳ τῆς αὐτοῦ βασιλείας ἔτει τὸν παρ' ἡμῖν ναὸν ἠρήμωσεν, καὶ ἦν ἀφανὴς ἐπ' ἔτη πεντήκοντα,[1] δευτέρῳ δὲ τῆς Κύρου βασιλείας ἔτει τῶν θεμελίων ὑποβληθέντων δευτέρῳ[2] πάλιν
155 τῆς Δαρείου βασιλείας ἀπετελέσθη. προσθήσω δὲ καὶ τὰς τῶν Φοινίκων ἀναγραφάς· οὐ γὰρ παραλειπτέον τῶν ἀποδείξεων τὴν περιουσίαν. ἔστι δὲ
156 τοιαύτη τῶν χρόνων ἡ καταρίθμησις· ἐπ' Ἰθωβάλου τοῦ βασιλέως ἐπολιόρκησε Ναβουχοδονόσορος τὴν Τύρον ἐπ' ἔτη δεκατρία. μετὰ τοῦτον ἐβασίλευσε
157 Βαὰλ ἔτη δέκα. μετὰ τοῦτον δικασταὶ κατεστάθησαν καὶ ἐδίκασαν Ἐκνίβαλος Βασλήχου μῆνας β', Χέλβης Ἀβδαίου μῆνας ι', Ἄββαρος[3] ἀρχιερεὺς μῆνας γ', Μύττυνος καὶ Γεράστρατος τοῦ Ἀβδηλίμου δικασταὶ ἔτη ς', ὧν μεταξὺ ἐβασίλευσε Βαλά-
158 τορος ἐνιαυτὸν ἕνα. τούτου τελευτήσαντος ἀποστείλαντες μετεπέμψαντο Μέρβαλον ἐκ τῆς Βαβυλῶνος, καὶ ἐβασίλευσεν ἔτη δ'. τούτου τελευτήσαντος μετεπέμψαντο τὸν ἀδελφὸν αὐτοῦ Εἴρωμον,

[1] Eus.: ἑπτά L Lat.
[2] δεκάτῳ Eus. *P.E.*: *sexto* Eus. (Arm.).
[3] *Abalus* Lat. Eus. (Arm.).

١٥٩- **وبذلك يصل إجمالي المدة إلي أربع وخمسين سنة وثلاثة شهور**[١١٣]، **إذ أن نبوخذ نصر قد شرع في حصار (مدينة) صور في السنة السابعة من حكمه**[١١٤]، **وتولي قورش الفارسي السلطة في السنة الرابعة عشرة من حكم (الملك) حيروم**".

١٦٠- الاتفاق إذن (تام) فيما يتعلق بموضوع المعبد، بين كتبنا وبين سجلات كل من **الكلدانيين والصوريين**، أما البرهان على (صحة) أقوالي عن قدم أرومتنا وعراقة محتدنا، فهو برهان مترابط لا يمكن دحضه ولا يرقى إليه الشك، وبناء على ذلك، فإنني أتصور أن ما سبق أن قلته يكفي لإقناع حتى أولئك الذين بزوا (سواهم) في الملاحاة واللجاجة.

الفصل الثاني والعشرون

١٦١- ومع ذلك فإنني أجد لزاماً علي أن أحقق مطلب هؤلاء الذين لا يثقون أدني ثقة في المصادر غير الإغريقية، وأن أقنع حتى الثمالة من يعتقدون أن الإغريق هم وحدهم الجديرين بالثقة والتصديق. وعليه فإنه يتحتم عليَّ أن أقدم (شواهد من أعمال) كثير من هؤلاء (الإغريق) الذين كانوا علي علم (بشئون) أمتنا، والذين تسني لهم إيراد مقتطفات وإشارات إلينا من عصور مختلفة في مؤلفاتهم.

١٦٢- فها هو **فيثاغورث**[١١٥]، - (الفيلسوف) القديم من (جزيرة) ساموس، الذي اعتبر بسبب حكمته وورعه تجاه القوة الربانية أفضل الفلاسفة طراً وأسماهم - لا يحيط علماً فقط بشئوننا ومؤسساتنا كما هو واضح وجلي، بل هو فائق الحماس لها والإعجاب بها[١١٦].

١٦٣- وحري بنا أن نقر بأنه ليس لدينا أي مؤلف مدون علي يد هذا

ὃς ἐβασίλευσεν ἔτη εἴκοσιν. ἐπὶ τούτου Κῦρος
159 Περσῶν ἐδυνάστευσεν. οὐκοῦν ὁ σύμπας χρόνος
ἔτη νδ' καὶ τρεῖς μῆνες πρὸς αὐτοῖς· ἑβδόμῳ[1] μὲν
γὰρ ἔτει τῆς Ναβουχοδονοσόρου βασιλείας ἤρξατο
πολιορκεῖν Τύρον, τεσσαρεσκαιδεκάτῳ δ' ἔτει τῆς
Εἰρώμου Κῦρος ὁ Πέρσης τὸ κράτος παρέλαβεν.
160 καὶ σύμφωνα μὲν ἐπὶ[1] τοῦ ναοῦ τοῖς ἡμετέροις
γράμμασι τὰ Χαλδαίων καὶ Τυρίων, ὡμολογημένη
δὲ καὶ ἀναντίρρητος ἡ περὶ τῶν εἰρημένων μοι
μαρτυρία τῆς τοῦ γένους ἡμῶν ἀρχαιότητος. τοῖς
μὲν οὖν μὴ σφόδρα φιλονείκοις ἀρκέσειν ὑπολαμ-
βάνω τὰ προειρημένα.

161 (22) Δεῖ δ' ἄρα καὶ τῶν ἀπιστούντων μὲν ταῖς
ἐν[2] τοῖς βαρβάροις ἀναγραφαῖς μόνοις δὲ τοῖς
Ἕλλησι πιστεύειν ἀξιούντων ἀποπληρῶσαι τὴν
ἐπιζήτησιν, καὶ παρασχεῖν πολλοὺς καὶ τούτων
ἐπισταμένους τὸ ἔθνος ἡμῶν καὶ καθ' ὃ καιρὸς ἦν
αὐτοῖς μνημονεύοντας παραθέσθαι ἐν ἰδίοις αὐτῶν
συγγράμμασι.
162 Πυθαγόρας τοίνυν ὁ Σάμιος ἀρχαῖος ὤν, σοφίᾳ
δὲ καὶ τῇ περὶ τὸ θεῖον εὐσεβείᾳ πάντων ὑπειλημ-
μένος διενεγκεῖν τῶν φιλοσοφησάντων, οὐ μόνον
ἐγνωκὼς τὰ παρ' ἡμῖν δῆλός ἐστιν, ἀλλὰ καὶ ζη-
163 λωτὴς αὐτῶν ἐκ πλείστου γεγενημένος. αὐτοῦ μὲν
οὖν οὐδὲν ὁμολογεῖται σύγγραμμα, πολλοὶ δὲ τὰ

[1] Text probably corrupt.
[2] ταῖς ἐν *ed. pr.*: om. L.

(الفيلسوف)، ولكن كثيراً من الكتاب قد قصوا علينا دقائق حياته وتفصيلاتها، وكان أكثرهم تميزا وشهرة **هرميبوس**[١١٧]، وهو مؤرخ دقيق في مؤلفاته التاريخية كافة.

١٦٤- إذ هو يخبرنا، في كتابه الأول عن حياة **فيثاغورث**، أن (الفيلسوف) **فيثاغورث** بعد وفاة تلميذ له يدعي **كالّينون**، وهو من أهالي **كروتونا**، قد أعلن أن روح هذا (التلميذ) كانت ترافقه آناء الليل وأطراف النهار، وأنها كانت تحذره من عبور منطقة كان مقدراً فيها لحمار أن يجثو علي ركبتيه وينهار واقعاً[١١٨]، والامتناع عن (شرب) المياه التي تسبب الظمأ[١١٩]، والعزوف عن كل آيات الفحش في القول[١٢٠].

١٦٥- ثم من بعد ذلك يضيف المعلومات التالية:

"وكان (فيثاغورث) فيما يمارسه أو يقوله من كلمات وتعاليم يحاكي عقائد اليهود وأهل طراقيا ويتبناها". إذ يقال[١٢١] إن هذا الرجل في حقيقة الأمر قد نقل إلى فلسفته كثيراً من الشرائع التي كانت قائمة بين اليهود.

١٦٦- ومنذ عصور سحيقة في القدم لم تكن أمتنا مجهولة لدي كثير من المدن، بل إن الكثير من عاداتنا وتقاليدنا قد انتقل إلى هذه المدن وغدا خليقا بتبني البعض منها له بحماس (منقطع النظير).

١٦٧- ويتضح لنا هذا جليا مما ذكره **ثيوفراستوس**[١٢٢] في كتاب له عن القوانين، حيث يخبرنا أن قوانين أهل **صور** تحرم عليهم أن يحلفوا بقسم أجنبي. وذكر في معرض سرده لطائفة متنوعة من صيغ القسم هذه قسما يسمي "قربان"، وهذا القسم ليس له وجود عند أية (أمة أخري) سوي عند اليهود وحدهم. ومن

περὶ αὐτὸν ἱστορήκασι, καὶ τούτων ἐπισημότατός
ἐστιν Ἕρμιππος, ἀνὴρ περὶ πᾶσαν ἱστορίαν ἐπι-
164 μελής. λέγει τοίνυν ἐν τῷ πρώτῳ τῶν περὶ
Πυθαγόρου βιβλίων ὅτι Πυθαγόρας, ἑνὸς αὐτοῦ
τῶν συνουσιαστῶν τελευτήσαντος, τοὔνομα Καλλι-
φῶντος τὸ γένος Κροτωνιάτου, τὴν ἐκείνου ψυχὴν
ἔλεγε συνδιατρίβειν αὐτῷ καὶ νύκτωρ καὶ μεθ'[1]
ἡμέραν, καὶ ὅτι παρεκελεύετο μὴ διέρχεσθαι τόπον
ἐφ' ὃν ἂν[2] ὄνος ὀκλάσῃ, καὶ τῶν διψίων ὑδάτων
165 ἀπέχεσθαι καὶ πάσης [ἀπέχειν] βλασφημίας. εἶτα
προστίθησι μετὰ ταῦτα καὶ τάδε· "ταῦτα δὲ
ἔπραττε καὶ ἔλεγε τὰς Ἰουδαίων καὶ Θρᾳκῶν δόξας
μιμούμενος καὶ μεταφέρων εἰς ἑαυτόν." λέγεται
γὰρ ὡς ἀληθῶς ὁ ἀνὴρ ἐκεῖνος πολλὰ τῶν παρὰ
Ἰουδαίοις νομίμων εἰς τὴν αὐτοῦ μετενεγκεῖν
φιλοσοφίαν.
166 Ἦν δὲ καὶ κατὰ πόλεις οὐκ ἄγνωστον ἡμῶν
πάλαι τὸ ἔθνος, καὶ πολλὰ τῶν ἐθῶν εἴς τινας ἤδη
διαπεφοιτήκει καὶ ζήλου παρ' ἐνίοις ἠξιοῦτο.
167 δηλοῖ δὲ ὁ Θεόφραστος ἐν τοῖς περὶ νόμων· λέγει
γὰρ ὅτι κωλύουσιν οἱ Τυρίων νόμοι ξενικοὺς
ὅρκους ὀμνύειν, ἐν οἷς μετά τινων ἄλλων καὶ τὸν
καλούμενον ὅρκον κορβὰν καταριθμεῖ. παρ' οὐδενὶ
δ' ἂν οὗτος εὑρεθείη πλὴν μόνοις Ἰουδαίοις, δηλοῖ

[1] μεθ' *edd. pr.*: καθ' L.
[2] ὃν ἂν *edd. pr.*: ὃν L, οὗ ἂν Niese.

الواضح أن (**ثيوفراستوس**)- إذا جاز لنا مثل هذا القول- قد ترجم (اسم) هذا القسم عن اللغة العبرية (بعبارة): "**هدية الله** "[١٢٣].

١٦٨- وما من شك في أن (المؤرخ) **هيرودوتوس** من **هاليكارناسّوس** لم يكن يجهل أمر أمتنا، بل يتضح لنا - علي العكس من ذلك - أنه ذكرها بطريقة أو بأخرى. فعندما كان يتحدث عن أهل كولخيس في الكتاب الثاني[١٢٤] (من مؤلفه التاريخي) ذكر لنا التالي:

١٦٩- "**الكولخيون والمصريون والإثيوبيون هم الشعوب الوحيدة التي تبنت منذ القدم عادة الختان (كوسيلة للطهارة). ولقد اعترف الفينيقيون والسوريون، (القاطنون) في منطقة فلسطين[١٢٥]، أنهم قد نقلوا هذه العادة عن المصريين.**

١٧٠- **أما السوريون (القاطنون) علي ضفاف نهري ثرمودون وبارثينيوس[١٢٦]، وكذلك الماكرونيون[١٢٧] الذين يجاورونهم، فيقولون إنهم تعلموها مؤخرا عن الكولخيين. هؤلاء إذن هم البشر الوحيدون الذين يمارسون عادة الختان، ومن الواضح أنهم جميعا قد أخذوها نقلا عن المصريين. ومع ذلك فليس بوسعي أن أجزم بمن تعلمها ونقلها عن الآخر: هل هم المصريون أم الإثيوبيون؟** "

١٧١- **هيرودوتوس** إذن قال بغير جدال إن السوريين القاطنين في فلسطين كانوا يمارسون عادة الختان، غير أن اليهود كانوا هم القوم الوحيدين في فلسطين الذين يمارسون تلك العادة. لقد كان (**هيرودوتوس**) إذن يعلم قصة ذلك حق العلم، ومن هنا جاءت إشارته إليهم.

δ', ὡς ἂν εἴποι τις, ἐκ τῆς Ἑβραίων μεθερμηνευόμενος διαλέκτου δῶρον θεοῦ.

168 Καὶ μὴν οὐδὲ[1] Ηρόδοτος ὁ Ἁλικαρνασεὺς ἠγνόηκεν ἡμῶν τὸ ἔθνος, ἀλλὰ τρόπῳ τινὶ φαίνεται μεμνημένος. περὶ γὰρ Κόλχων ἱστορῶν ἐν τῇ
169 δευτέρᾳ βίβλῳ φησὶν οὕτως· "μοῦνοι δὲ πάντων," φησί, "Κόλχοι καὶ Αἰγύπτιοι καὶ Αἰθίοπες περιτέμνονται ἀπ' ἀρχῆς τὰ αἰδοῖα. Φοίνικες δὲ καὶ Σύριοι οἱ ἐν τῇ Παλαιστίνῃ καὶ οὗτοι[2] ὁμολογοῦσι
170 παρ' Αἰγυπτίων μεμαθηκέναι. Σύριοι δὲ οἱ περὶ Θερμώδοντα καὶ Παρθένιον ποταμὸν καὶ Μάκρωνες οἱ τούτοισιν ἀστυγείτονες ὄντες ἀπὸ Κόλχων φασὶ νεωστὶ μεμαθηκέναι. οὗτοι γάρ εἰσιν οἱ περιτεμνόμενοι ἀνθρώπων μοῦνοι καὶ οὗτοι Αἰγυπτίοισι φαίνονται ποιοῦντες κατὰ ταὐτά. αὐτῶν δὲ Αἰγυπτίων καὶ Αἰθιόπων οὐκ ἔχω εἰπεῖν
171 ὁπότεροι παρὰ τῶν ἑτέρων ἐξέμαθον." οὐκοῦν εἴρηκε Σύρους τοὺς ἐν τῇ Παλαιστίνῃ περιτέμνεσθαι· τῶν δὲ τὴν Παλαιστίνην κατοικούντων μόνοι τοῦτο ποιοῦσιν Ἰουδαῖοι. τοῦτο ἄρα γιγνώσκων εἴρηκεν περὶ αὐτῶν.

172 Καὶ Χοιρίλος δὲ ἀρχαῖος[3] γενόμενος ποιητὴς μέμνηται τοῦ ἔθνους ἡμῶν, ὅτι συνεστράτευται

[1] *ed. pr.*: οὔτε L. [2] αὐτοὶ Herodotus.
[3] Eus., Lat.: ἀρχαιότερος L.

١٧٢- كذلك فإن **خويريلوس**[١٢٨]، الشاعر القديم، يذكر أن أمتنا قد شاركت في الحملة العسكرية (التي حشدها) **إجزركسيس**، ملك الفرس، ضد بلاد اليونان. لذلك فبعد أن يعدد سائر الأمم الأخرى (المشاركة في الحملة)، يضع بينها في خاتمة المطاف أمتنا قائلاً:

١٧٣- ثم جاء في أعقابهم جنس يثير دهشة من يرنو إليه،
تنطق أفواههم بلسان أهل فينيقيا،
وهم يقطنون جبال سوليموي بالقرب من البحيرة الممتدة العريضة،
وهم ضامرو البنية ورؤوسهم حليقة من كل جانب،
وكانوا يرتدون فوق (هاماتهم) رؤوسا منزوعة من (إهاب) الخيل،
بعد تجفيفها بالدخان."

١٧٤- ومن الواضح لكل الناس كافة - حسب ما أتصور- أنه يتحدث عنا، حيث إن جبال سوليموي توجد في بلادنا التي نقطنها. كذلك فإن البحيرة المسماة بالبيتومينية (= الأسفلتية) هي أكثر البحيرات الموجودة في سوريا مساحة وأكبرها امتداداً[١٢٩].

١٧٥- وهكذا نجد أن **خويريلوس** قد أشار إلينا (بدوره في كتاباته). ولم يكن (الإغريق) يعرفون اليهود فحسب، بل إنهم أبدوا إعجابهم كذلك بمن قدر لهم أن يلتقوا به منهم. غير أن هذا الإعجاب لم يصدر عن جانب من هم أدنى شأناً أو مرتبة بين الإغريق، بل (صدر عن جانب) من يحظون منهم بالشهرة في مجال الحكمة، وهو أمر من اليسير معرفته والتدليل عليه.

١٧٦- فها هو **كليارخوس**، تلميذ **أرسطو**، والذي لا يعلوه أحد آخر شأناً من فلاسفة المدرسة المشائية، يذكر لنا في الجزء الأول من كتابه "**عن النوم**" أن

Ξέρξῃ τῷ Περσῶν βασιλεῖ ἐπὶ τὴν Ἑλλάδα. καταριθμησάμενος γὰρ πάντα τὰ ἔθνη τελευταῖον καὶ τὸ ἡμέτερον ἐνέταξε λέγων·

173 τῶν δ' ὄπιθεν διέβαινε γένος θαυμαστὸν ἰδέσθαι,
γλῶσσαν μὲν Φοίνισσαν ἀπὸ στομάτων ἀφιέντες,
ᾤκουν[1] δ' ἐν Σολύμοις ὄρεσι πλατέῃ παρὰ[2] λίμνῃ,
αὐχμαλέοι κορυφὰς τροχοκουράδες, αὐτὰρ ὕπερθεν
ἵππων δαρτὰ πρόσωπ' ἐφόρουν ἐσκληκότα καπνῷ.

174 δῆλον οὖν ἐστιν, ὡς οἶμαι, πᾶσιν ἡμῶν αὐτὸν μεμνῆσθαι τῷ καὶ τὰ Σόλυμα ὄρη ἐν τῇ ἡμετέρᾳ εἶναι χώρᾳ, ἃ κατοικοῦμεν, καὶ τὴν Ἀσφαλτῖτιν λεγομένην λίμνην· αὕτη γὰρ πασῶν τῶν ἐν τῇ Συρίᾳ λίμνη[3] πλατυτέρα καὶ μείζων καθέστηκεν.

175 Καὶ Χοιρίλος μὲν οὖν οὕτω μέμνηται ἡμῶν· ὅτι δὲ οὐ μόνον ἠπίσταντο τοὺς Ἰουδαίους, ἀλλὰ καὶ ἐθαύμαζον ὅσοις αὐτῶν ἐντύχοιεν οὐχ οἱ φαυλότατοι τῶν Ἑλλήνων, ἀλλ' οἱ ἐπὶ σοφίᾳ μάλιστα
176 τεθαυμασμένοι, ῥᾴδιον γνῶναι. Κλέαρχος γὰρ ὁ Ἀριστοτέλους ὢν μαθητὴς καὶ τῶν ἐκ τοῦ περιπάτου φιλοσόφων οὐδενὸς δεύτερος ἐν τῷ πρώτῳ περὶ

[1] So (or ᾧκεον) Eus.: ὥικεε L.
[2] Eus.: ἐνὶ L, ἐπὶ Niese.
[3] λιμνῶν Eus.

أستاذه أرسطو قد قص عليه القصة التالية عن رجل يهودي؛ وهو يصوغ الحديث علي لسان أرسطو نفسه. وفيما يلي النص المدون في كتابه[١٣٠]:

١٧٧- "ولو أنني قصصت هذه القصة بحذافيرها فسوف أستغرق زمناً طويلاً، غير أن هناك خصالاً (مميزة) في (سلوك) هذا الرجل تجعل الشعور بالإعجاب يقترن جنباً إلى جنب مع الفلسفة، وهو أمر يستوجب الوصف. وإن لك أن تعلم بجلاء، أي هيبروخيديس"، كان هذا ما قاله، "أن ما سوف أقصه عليك سوف يبدو لك مبهراً تماماً كما في الأحلام". وأجاب هيبروخيديس باهتمام قائلاً: "هذا هو السبب في أننا جميعاً نتوق لسماع هذه (القصة)".

١٧٨- فقال أرسطو: "حسناً دعونا اذن نبدأ- وفقا لمبادئ الريطوريقا (= البلاغة) وأسسها - بوصف جنسه وعشيرته، حتى يتسنى لنا عدم الخروج على تعليمات أساتذتنا فيما يتعلق بفن السرد". فقال هيبروخيديس: "إن لك أن تقص علينا قصته بالطريقة التي تروق لك".

١٧٩- فقال (أرسطو): "حسناً إن هذا الرجل كان يهودياً من جوف سوريا. وكان هؤلاء (القوم) ينحدرون من سلالة فلاسفة الهنود[١٣١]. وكان هؤلاء الفلاسفة- كما يقولون- يعرفون لدي الهنود باسم كالانوي Kalanoi[١٣٢]، أما لدي السوريين (فكانوا يعرفون باسم) اليهود. ولقد استمدوا اسمهم هذا من الموضع (الذي يقيمون فيه)، وهو موضع يعرف باسم يهودية (= أرض يهوذا). أما اسم مدينتهم فكان اسما بالغ الصعوبة، ذلك أنهم يطلقون عليها اسم هييروساليمي (= أورشليم).

١٨٠- ولم يكن هذا الرجل - الذي لقي الحفاوة والترحيب من حشد غفير من (الأصدقاء)، والذي كان يسير في طريقه عبر المرتفعات منحدراً إلى الأراضي الواقعة علي ساحل البحر- يتحدث باللغة اليونانية فقط، بل إن نفسه ذاتها كانت نفس إنسان إغريقي.

١٨١- وخلال إقامتنا في آسيا[١٣٣] قام هذا الرجل بزيارة نفس الأماكن التي قمنا بزيارتها، كما وفد لتبادل النقاش معنا ومع آخرين سواي من العلماء، وكان يختبر مدي مهارتنا وغاية فكرنا وعلمنا. غير أنه - بوصفه متمرساً ومعتاداً علي مخالطة الكثيرين في مجال الثقافة والمعرفة - قد أسدى إلينا بالأحرى قسطاً من المعرفة التي يحظي بها".

ὕπνου βιβλίῳ φησὶν Ἀριστοτέλην τὸν διδάσκαλον αὐτοῦ περί τινος ἀνδρὸς Ἰουδαίου ταῦτα ἱστορεῖν, αὐτῷ τε τὸν λόγον Ἀριστοτέλει περιτίθησι[1]· ἔστι
177 δὲ οὕτω γεγραμμένον· "ἀλλὰ τὰ μὲν πολλὰ μακρὸν ἂν εἴη λέγειν, ὅσα δ' ἔχει τῶν ἐκείνου θαυμασιότητά τινα καὶ φιλοσοφίαν ὁμοίως διελθεῖν οὐ χεῖρον. σαφῶς δ' ἴσθι, εἶπεν, Ὑπεροχίδη, [θαυμαστὸν][2] ὀνείροις ἴσα σοι δόξω λέγειν. καὶ ὁ Ὑπεροχίδης εὐλαβούμενος, δι' αὐτὸ γάρ, ἔφη, τοῦτο καὶ ζητοῦ-
178 μεν ἀκοῦσαι πάντες. οὐκοῦν, εἶπεν ὁ Ἀριστοτέλης, κατὰ τὸ τῶν ῥητορικῶν παράγγελμα τὸ γένος αὐτοῦ πρῶτον διέλθωμεν, ἵνα μὴ ἀπειθῶμεν τοῖς τῶν ἀπαγγελιῶν[3] διδασκάλοις. λέγε, εἶπεν ὁ Ὑπε-
179 ροχίδης, οὕτως εἰ[4] δοκεῖ. κἀκεῖνος τοίνυν τὸ μὲν γένος ἦν Ἰουδαῖος ἐκ τῆς κοίλης Συρίας. οὗτοι δ' εἰσὶν ἀπόγονοι τῶν ἐν Ἰνδοῖς φιλοσόφων, καλοῦνται δέ, ὥς φασιν, οἱ φιλόσοφοι παρὰ μὲν Ἰνδοῖς Καλανοί, παρὰ δὲ Σύροις Ἰουδαῖοι, τοὔνομα λαβόντες ἀπὸ τοῦ τόπου· προσαγορεύεται γὰρ ὃν κατοικοῦσι τόπον Ἰουδαία. τὸ δὲ τῆς πόλεως αὐτῶν ὄνομα πάνυ σκολιόν ἐστιν· Ἱερουσαλήμην[5]
180 γὰρ αὐτὴν καλοῦσιν. οὗτος οὖν ὁ ἄνθρωπος ἐπιξενούμενός τε πολλοῖς κἀκ τῶν ἄνω τόπων εἰς τοὺς ἐπιθαλαττίους ὑποκαταβαίνων Ἑλληνικὸς ἦν οὐ
181 τῇ διαλέκτῳ μόνον, ἀλλὰ καὶ τῇ ψυχῇ. καὶ τότε

[1] Gutschmid: παρατιθεὶς L, ἀνατίθησι Eus.
[2] Om. Eus. cod. [3] Eus.: ἐπαγγελιῶν L.
[4] οὕτως εἰ Eus., Lat.: εἴ τι σοι L.
[5] Ἱερουσαλὴμ Eus.: *hierosolyma* Lat.

١٨٢- كان هذا هو ما قاله **أرسطو** علي لسان **كليارخوس**، ثم إنه طفق بعد ذلك يسرد (علينا) ما تميز به هذا الرجل اليهودي في حياته، من قدرة مدهشة على التحمل والجلد والاتصاف بالحكمة. وهناك (معلومات) أكثر في هذا الكتاب متاحة لمن يرغبون في القراءة والاستزادة؛ ذلك أنني أبذل قصارى جهدي حتى لا أقتبس منه أكثر مما يعتبر كافياً.

١٨٣- وفي الحق أن هذه المعلومات التي ذكرها **كليارخوس** عنا، قد وردت بطريقة استطرادية عندما كان يعرض تفاصيل موضوع آخر ودقائقه. أما **هيكاتيوس** من **أبديرا**[١٣٤] - الذي كان فيلسوفاً وصاحب كفاءة رفيعة الشأن للغاية في تصريف الأمور ووضعها في نصابها، والذي ازدهر إبان عصر **الإسكندر الأكبر** وكان وثيق الصلة بالملك **بطلميوس بن لاجوس**- فلم يذكرنا بطريقة عرضية أو استطرادية، بل إنه دون كتاباً خاصاً عن اليهود، أعتزم أن أقتطف منه إجمالا بعض الفقرات الواردة في متنه.

١٨٤- ولسوف ألقي الضوء في مبدأ الأمر علي العصر (الذي عاش فيه)، إذ أنه يذكر المعركة التي نشبت بين **بطلميوس وديمتريوس** بالقرب من (مدينة) غزة، وهي (المعركة) التي يذكر المؤرخ **كاستور**[١٣٥] أن رحاها قد دارت في السنة الحادية عشرة بعد وفاة **الإسكندر الأكبر**، وذلك إبان الفترة الاوليمبية السابعة عشرة بعد المائة.

١٨٥- ويستطرد (**كاستور**) قائلاً في معرض حديثه عن هذه الفترة الأوليمبية[١٣٦]:

διατριβόντων ἡμῶν περὶ τὴν Ἀσίαν παραβαλὼν εἰς
τοὺς αὐτοὺς τόπους ἄνθρωπος[1] ἐντυγχάνει ἡμῖν τε
καί τισιν ἑτέροις τῶν σχολαστικῶν πειρώμενος
αὐτῶν τῆς σοφίας. ὡς δὲ πολλοῖς τῶν ἐν παιδείᾳ
182 συνῳκείωτο, παρεδίδου τι μᾶλλον ὧν εἶχεν." ταῦτ'
εἴρηκεν ὁ Ἀριστοτέλης παρὰ τῷ Κλεάρχῳ καὶ
προσέτι πολλὴν καὶ θαυμάσιον καρτερίαν τοῦ
Ἰουδαίου ἀνδρὸς ἐν τῇ διαίτῃ καὶ σωφροσύνην
διεξιών. ἔνεστι δὲ τοῖς βουλομένοις ἐξ αὐτοῦ τὸ
πλέον γνῶναι τοῦ βιβλίου· φυλάττομαι γὰρ ἐγὼ
[τὰ] πλείω τῶν ἱκανῶν παρατίθεσθαι.

183 Κλέαρχος μὲν οὖν ἐν παρεκβάσει ταῦτ' εἴρηκεν,
τὸ γὰρ προκείμενον ἦν αὐτῷ καθ' ἕτερον, οὕτως
ἡμῶν μνημονεῦσαι. Ἑκαταῖος δὲ ὁ Ἀβδηρίτης,
ἀνὴρ φιλόσοφος ἅμα καὶ περὶ τὰς πράξεις ἱκανώ-
τατος, Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνακμάσας καὶ
Πτολεμαίῳ τῷ Λάγου συγγενόμενος, οὐ παρέργως,
ἀλλὰ περὶ αὐτῶν Ἰουδαίων συγγέγραφε βιβλίον,
ἐξ οὗ βούλομαι κεφαλαιωδῶς ἐπιδραμεῖν ἔνια τῶν
184 εἰρημένων. καὶ πρῶτον ἐπιδείξω τὸν χρόνον·
μνημονεύει γὰρ τῆς Πτολεμαίου περὶ Γάζαν πρὸς
Δημήτριον μάχης, αὕτη δὲ γέγονεν ἑνδεκάτῳ μὲν
ἔτει τῆς Ἀλεξάνδρου τελευτῆς, ἐπὶ δὲ ὀλυμπιάδος
ἑβδόμης καὶ δεκάτης καὶ ἑκατοστῆς, ὡς ἱστορεῖ
185 Κάστωρ. προσθεὶς[2] γὰρ ταύτην τὴν ὀλυμπιάδα
φησίν· "ἐπὶ ταύτης Πτολεμαῖος ὁ Λάγου ἐνίκα

[1] ἄνθρωπος Eus. (-ον L). [2] προθεὶς Cobet.

"وخلال هذه الفترة انتصر بطلميوس بن لاجوس على ديمتريوس بن أنتيجونوس، الملقب بالبوليوركيتي، في موقعة عند (مدينة) غزة". وهو يذكر أن الجميع يتفقون علي أن الإسكندر (الأكبر) قد قضي نحبه إبان الفترة الأوليمبية الرابعة عشرة بعد المائة. ومن الواضح كذلك أن أمتنا قد ازدهرت خلال عهد ذلك (الملك، أي بطلميوس بن لاجوس) وخلال عهد الإسكندر الأكبر.

١٨٦- ثم يستطرد (المؤرخ) هيكاتيوس بعد ذلك في سرد هذه المعلومات، ومؤداها أن (الملك) بطلميوس- بعد المعركة التي (دارت رحاها) في غزة - قد صارت له اليد العليا على المناطق الواقعة حول سوريا، وأن كثيراً من الناس (هناك) تاقت نفوسهم- بعد أن علموا بنبأ رحمة بطلميوس ورفقه وتعاطفه مع البشر - إلى الرحيل برفقته إلى مصر والانضمام إلى زمرة رعاياه.

١٨٧- ثم أردف (هيكاتيوس) قائلاً: "وكان حزقيا Ezekias، كبير أحبار اليهود[١٣٧]، واحداً من هؤلاء، وكان رجلاً يبلغ من العمر حوالي ست وستين سنة، وكان يتمتع بمكانة عالية بين مواطنيه وبني جلدته، روحه أبية ولا ينقصه الذكاء، فضلاً عن أنه كان متحدثاً بارعاً وخبيراً ضليعا في إدارة الأمور وتصريفها، ولا يبزه في ذلك أحد".

١٨٨- ثم أردف قائلاً: "ومع ذلك فقد بلغ عدد جميع أحبار اليهود، الذين كانوا يتقاضون ضريبة العُشر على الدخل والذين كانوا يتولون أمر الشئون العامة، حوالي ألف وخمسمائة حبر".

١٨٩- ثم حينما عاود الحديث عن (حزقيا) قال: "وبعد أن قدر لهذا الرجل أن يحظى بهذا الشرف[١٣٨]، وأن يصبح معتاداً علي الاتصال بنا ومرافقتنا، قام بجمع نفر من خلانه، وتلا عليهم كل المزايا التي تتعلق (بهجرتهم للاستيطان خارج الوطن)، ذلك أن جميع ما يتعلق بظروف الاستيطان والحقوق السياسية (لطائفة اليهود) كان مدوناً لديه (في وثيقة)".

κατὰ Γάζαν μάχῃ Δημήτριον τὸν Ἀντιγόνου τὸν ἐπικληθέντα Πολιορκητήν." Ἀλέξανδρον δὲ τεθνάναι πάντες ὁμολογοῦσιν ἐπὶ τῆς ἑκατοστῆς τεσσαρεσκαιδεκάτης ὀλυμπιάδος. δῆλον οὖν ὅτι καὶ κατ' ἐκεῖνον καὶ κατὰ Ἀλέξανδρον ἤκμαζεν ἡμῶν
186 τὸ ἔθνος. λέγει τοίνυν ὁ Ἑκαταῖος πάλιν τάδε, ὅτι μετὰ τὴν ἐν Γάζῃ μάχην ὁ Πτολεμαῖος ἐγένετο τῶν περὶ Συρίαν τόπων ἐγκρατής, καὶ πολλοὶ τῶν ἀνθρώπων πυνθανόμενοι τὴν ἠπιότητα καὶ φιλανθρωπίαν τοῦ Πτολεμαίου συναπαίρειν εἰς Αἴγυπτον αὐτῷ καὶ κοινωνεῖν τῶν πραγμάτων ἠβουλήθησαν.
187 "ὧν εἷς ἦν," φησίν, "Ἐζεκίας ἀρχιερεὺς τῶν Ἰουδαίων, ἄνθρωπος τὴν μὲν ἡλικίαν ὡς ἑξήκοντα ἐξ ἐτῶν, τῷ δ' ἀξιώματι τῷ παρὰ τοῖς ὁμοέθνοις μέγας καὶ τὴν ψυχὴν οὐκ ἀνόητος, ἔτι δὲ καὶ λέγειν δυνατὸς καὶ τοῖς περὶ τῶν πραγμάτων, εἴπερ τις
188 ἄλλος, ἔμπειρος. καίτοι," φησίν, "οἱ πάντες ἱερεῖς τῶν Ἰουδαίων οἱ τὴν δεκάτην τῶν γινομένων λαμβάνοντες καὶ τὰ κοινὰ διοικοῦντες περὶ χιλίους
189 μάλιστα καὶ πεντακοσίους εἰσίν." πάλιν δὲ τοῦ προειρημένου μνημονεύων ἀνδρός "οὗτος," φησίν, "ὁ ἄνθρωπος τετευχὼς τῆς τιμῆς ταύτης καὶ συνήθης ἡμῖν γενόμενος, παραλαβών τινας τῶν μεθ' ἑαυτοῦ τήν [τε] διαφορὰν ἀνέγνω πᾶσαν αὐτοῖς· εἶχεν γὰρ τὴν κατοίκησιν αὐτῶν καὶ τὴν πολιτείαν
190 γεγραμμένην." εἶτα Ἑκαταῖος δηλοῖ πάλιν πῶς ἔχομεν πρὸς τοὺς νόμους, ὅτι πάντα πάσχειν ὑπὲρ

١٩٠- ثم من بعد ذلك يوضح **هيكاتيوس** من جديد في موضع آخر موقفنا من شرائعنا وقوانيننا، وكيف أننا نفضل أن نكابد كل صفوف المعاناة في سبيل عدم انتهاكها، بل ونعتبر (أن التمسك بها وعض النواجذ عليها) علامة من علامات النبل والشرف.

١٩١- ثم يردف (المؤرخ **هيكاتيوس**) من بعد ذلك قائلاً:

"بناء علي ذلك، فلم تكن الوشايات الكاذبة أو الافتراءات التي تتناهى إلى أسماعهم من جيرانهم ومن الوافدين كافة إلى بلادهم، ولا الإهانات التي كانوا كثيراً ما يتعرضون لها من قبل ملوك الفرس وولاتهم، بقادرة على أن تغير من عقيدتهم أو تفت من عضدهم. بل إنهم كانوا يجابهون، وهم عراة (عزل) ومجردون (من أي دفاع)، صنوف التعذيب هذه وخطر الموت في جميع صوره التي تفرق منها النفوس علي وجه الخصوص، دون أن يتنكروا لمعتقدات أسلافهم أو يتخلوا عنها"..

١٩٢- ويورد (**هيكاتيوس**) أدلة ليست بالقليلة على عناد (أفراد قومنا) المتأصل، فيما يتعلق بشرائعهم ونواميسهم، فيخبرنا بأن **الإسكندر** (الأكبر) أثناء وجوده في بابل - وكان قد عقد العزم علي تهيئة (أرض) معبد (الإله) **بعل**[١٣٩] الذي تهدم وتطهيرها- أصدر أوامره إلى جميع جنوده دون تمييز بإحضار (**أكداس**) التراب (اللازم لذلك). ولكن اليهود كانوا هم وحدهم الذين لم ينصاعوا (لهذه الأوامر)، بل إنهم تحملوا عقوبات (جمة) وأذى كثيراً، ودفعوا غرامات باهظة (في سبيل ذلك)، إلى أن صفح عنهم الملك (**الإسكندر**) وأزاح عن كاهلهم (هذا العبء).

١٩٣- ثم يستطرد (**هيكاتيوس**) قائلاً إن (اليهود) علاوة على ذلك - عندما كانت المعابد والمذابح تبني في بلادهم من قبل الغازين- كانوا يقومون بهدمها جميعا ويجعلونها أثراً بعد عين، وكانوا يدفعون غرامة مالية للولاة عقاباً لهم (علي تلك الفعلة)، كما كانوا في أحيان أخرى يظفرون بالعفو. ويعرب (**هيكاتيوس**) عن رأيه بأن (اليهود) يستحقون الإعجاب بسبب مسلكهم (الأصولي) هذا.

١٩٤- ثم إن (**هيكاتيوس**) يتحدث بعد ذلك عن كثافة السكان العالية جداً التي تتميز بها أمتنا، ويذكر أن **الفرس**[١٤٠] قاموا بتهجير آلاف مؤلفة منهم إلي بابل، غير أن آلافا أخرى منهم غير قليلة- رغم ذلك- قد نزحت بعد موت **الإسكندر الأكبر** إلى مصر وفينيقيا، نتيجة للاضطرابات والثورة التي نشبت في سوريا.

τοῦ μὴ παραβῆναι τούτους προαιρούμεθα καὶ καλὸν
191 εἶναι νομίζομεν. "τοιγαροῦν," φησί, "καὶ κακῶς ἀκούοντες ὑπὸ τῶν ἀστυγειτόνων καὶ τῶν εἰσαφικνουμένων πάντες[1] καὶ προπηλακιζόμενοι πολλάκις ὑπὸ τῶν Περσικῶν βασιλέων καὶ σατραπῶν οὐ δύνανται μεταπεισθῆναι τῇ διανοίᾳ, ἀλλὰ γεγυμνωμένως περὶ τούτων καὶ αἰκίαις καὶ θανάτοις δεινοτάτοις μάλιστα πάντων ἁπαντῶσι, μὴ ἀρνού-
192 μενοι τὰ πατρῷα.[2]" παρέχεται δὲ καὶ τεκμήρια τῆς ἰσχυρογνωμοσύνης τῆς περὶ τῶν νόμων οὐκ ὀλίγα. φησὶ γάρ, Ἀλεξάνδρου ποτὲ ἐν Βαβυλῶνι γενομένου καὶ προελομένου τὸ τοῦ Βήλου πεπτωκὸς ἱερὸν ἀνακαθᾶραι καὶ πᾶσιν αὐτοῦ τοῖς στρατιώταις ὁμοίως φέρειν τὸν χοῦν προστάξαντος, μόνους τοὺς Ἰουδαίους οὐ προσσχεῖν,[3] ἀλλὰ καὶ πολλὰς ὑπομεῖναι πληγὰς καὶ ζημίας ἀποτῖσαι μεγάλας, ἕως αὐτοῖς συγγνόντα τὸν βασιλέα δοῦναι
193 τὴν ἄδειαν. ἔτι[4] γε μὴν τῶν εἰς τὴν χώραν, φησί, πρὸς αὐτοὺς ἀφικνουμένων νεὼς καὶ βωμοὺς κατασκευασάντων ἅπαντα ταῦτα κατέσκαπτον, καὶ τῶν μὲν ζημίαν τοῖς σατράπαις ἐξέτινον, περί τινων δὲ καὶ συγγνώμης μετελάμβανον. καὶ προσεπιτίθησιν ὅτι δίκαιον ἐπὶ τούτοις αὐτούς ἐστι θαυμάζειν.
194 λέγει δὲ καὶ περὶ τοῦ πολυανθρωπότατον γεγονέναι ἡμῶν τὸ ἔθνος· πολλὰς μὲν γὰρ ἡμῶν,[5] φησίν, ἀνασπάστους εἰς Βαβυλῶνα Πέρσαι πρότερον [αὐτῶν][6] ἐποίησαν μυριάδας, οὐκ ὀλίγαι δὲ καὶ μετὰ τὸν Ἀλεξάνδρου θάνατον εἰς Αἴγυπτον καὶ

[1] πάντων *edd. pr.*
[2] πάτρια Niese.
[3] Bekker: προσχεῖν L.
[4] Niese: ἐπεῖ (*sic*) L.
[5] Josephus is paraphrasing; hence no need to reject (Niese) or to emend to αὐτῶν (Bekker).
[6] Om. Lat., Bekker.

١٩٥- ولقد أشار هذا (المؤرخ) ذاته إلى مدي اتساع رقعة بلادنا التي نقطن فيها، وإلى مدي جمال (طبيعتها) بقوله: "**(إن بلادهم) تمتد على رقعة تبلغ مساحتها ما يقرب من ثلاثة ملايين أرورا[١٤١] من أفضل الأراضي وأكثرها خصباً وإنتاجاً لجميع أنواع الثمار**". ثم يردف قائلاً: "**هذا إذن هو مدي اتساع رقعة أرض يهودية**".

١٩٦- وفي الحقيقة فإن وصف هذا (المؤرخ) لمدينة أورشليم ذاتها، المدينة التي أقمنا فيها منذ أقدم العصور، والتي تتميز بجمالها الأخاذ وامتداد مساحتها- فضلاً عن وصفه كذلك لاكتظاظها بالسكان ولمبني معبدها - يجري علي النحو التالي:

١٩٧- "**ذلك أنَّ لدي اليهود قلاعاً وحصوناً كثيرة، وكذا قري عديدة في طول بلادهم وعرضها[١٤٢]، ولكن لديهم مدينة واحدة حصينة يبلغ امتداد قطرها بأسره خمسين استاديون[١٤٣]، ويقطنها ما يقرب من مائة وعشرين ألف نسمة، وهم يطلقون عليها اسم هييروسوليما (= أورشليم).**

١٩٨- **وفي وسط هذه المدينة تقريباً، يوجد سور حجري يبلغ طوله خمس بليثرات[١٤٤] وعرضه مائة ذراع[١٤٥]، وكان لهذا (السور) بوابتان، ويوجد به مذبح مربع الشكل مشيد من حجارة مكدسة غير مشذبة ولا مقطوعة بعناية، ويبلغ طول كل ضلع من أضلاعه عشرين ذراعاً، بينما يبلغ ارتفاعه عشرة أذرع. وكان يوجد بالقرب منه مبني ضخم يحتوي علي مذبح ومشعل، كلاهما مصنوع من الذهب، ويبلغ وزنهما معاً مثقال اثنين من التالنتات[١٤٦].**

195 Φοινίκην μετέστησαν διὰ τὴν ἐν Συρίᾳ στάσιν. ὁ δὲ αὐτὸς οὗτος ἀνὴρ καὶ τὸ μέγεθος τῆς χώρας ἣν κατοικοῦμεν καὶ τὸ κάλλος ἱστόρηκεν· "τριακοσίας γὰρ μυριάδας ἀρουρῶν σχεδὸν τῆς ἀρίστης καὶ παμφορωτάτης χώρας νέμονται," φησίν· "ἡ γὰρ
196 Ἰουδαία τοσαύτη πλάτος[1] ἐστίν." ἀλλὰ μὴν ὅτι καὶ τὴν πόλιν αὐτὴν τὰ Ἱεροσόλυμα καλλίστην τε καὶ μεγίστην ἐκ παλαιοτάτου κατοικοῦμεν καὶ περὶ πλήθους ἀνδρῶν καὶ περὶ τῆς τοῦ νεὼ κατασκευῆς
197 οὕτως αὐτὸς[2] διηγεῖται· "ἔστι γὰρ τῶν Ἰουδαίων τὰ μὲν πολλὰ ὀχυρώματα κατὰ τὴν χώραν καὶ κῶμαι, μία δὲ πόλις ὀχυρὰ πεντήκοντα μάλιστα σταδίων τὴν περίμετρον, ἣν οἰκοῦσι μὲν ἀνθρώπων περὶ δώδεκα μυριάδες, καλοῦσι δ' αὐτὴν Ἱεροσό-
198 λυμα. ἐνταῦθα δ' ἐστὶ κατὰ μέσον μάλιστα τῆς πόλεως περίβολος λίθινος, μῆκος ὡς πεντάπλεθρος, εὖρος δὲ πηχῶν ρ', ἔχων διπλᾶς πύλας· ἐν ᾧ βωμός ἐστι τετράγωνος ἀτμήτων συλλέκτων ἀργῶν λίθων οὕτω συγκείμενος, πλευρὰν μὲν ἑκάστην εἴκοσι πηχῶν, ὕψος δὲ δεκάπηχυ. καὶ παρ' αὐτὸν οἴκημα μέγα, οὗ βωμός ἐστι καὶ λυχνίον, ἀμφότερα χρυσᾶ
199 δύο τάλαντα τὴν ὁλκήν. ἐπὶ τούτων φῶς ἐστιν ἀναπόσβεστον καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας.

[1] Hudson : πλῆθος L.
[2] ὁ αὐτὸς (after Lat.) Bekker.

١٩٩- وكان يوجد فوقهما (فنار من) الضوء الذي لا ينطفئ نوره أبداً، سواء آناء الليل أو أطراف النهار. غير أنه لم يكن يوجد (بهذا المعبد) أي تمثال أو قرابين من أي نوع علي الإطلاق، ولا أي نوع من النباتات سواء في صورة غابة أو دغل أو ما شابه ذلك.. وكان الكهنة (= الأحبار) يمضون في هذا (المعبد) لياليهم وأيامهم في ممارسة طقوس التطهر، ويمتنعون تماماً عن تناول الخمر طالما هم داخل المعبد"[١٤٧].

٢٠٠- وفضلاً عن ذلك، فإن (هذا المؤرخ) قد شهد بأن (اليهود) قد اشتركوا في حملات الملك **الإسكندر** (الأكبر) العسكرية، كما شاركوا من بعد ذلك مع خلفائه. وهو يذكر لنا أنه عاين بنفسه واقعة جرت علي يد شخص يهودي في واحدة من هذه الحملات العسكرية، ولسوف أقتبس هنا نصها الذي يقول فيه (هيكاتيوس):

٢٠١- "عندما كنت أتجه في سيري صوب البحر الأحمر، كان بصحبتنا شخص ضمن فصيلة الفرسان اليهود الذين كانوا يرافقوننا، اسمه موسولاموس[١٤٨]، وكان رجلاً عالي الهمة، متين البنيان، وكان باعتراف الجميع - سواء من الإغريق أو من الأجانب - أفضل رامي سهام.

٢٠٢- وعندما لاحظ هذا الرجل أن كثيرين طفقوا يذرعون الطريق جيئة وذهاباً، وأن الحملة بأسرها قد توقفت لأن العراف شرع في تحري حركة الطير، سأل عن السبب في توقف مسيرة الحملة.

٢٠٣- فأشار العراف إلى الطائر قائلاً له: "لو أن هذا (الطائر) ظل في مكانه، فالأحرى بنا أن نتوقف عن السير، أما إذا انطلق من مكانه وشرع في الطيران (متجهاً) إلى الأمام، فالأجدر بنا أن نسير قدماً في طريقنا. أما إذا طار صوب الخلف، فإن علينا أن نعود أدراجنا من حيث انطلقنا. ولم ينبس (اليهودي) ببنت شفه، بل تناول قوسه وأطلق منه (سهماً) أصاب الطائر فقتله.

٢٠٤- وهنا استولي الغضب العارم علي العراف وعلي طائفة من الجنود الآخرين وانهالوا عليه بالسباب واللعنات. فما كان منه إلا أن قال لهم: "هل أصابكم مس من الجنون، أم سكنتكم الأرواح الشريرة؟". ثم من بعد ذلك أخذ الطائر بين كفيه وأردف

ἄγαλμα δ' οὐκ ἔστιν οὐδ' ἀνάθημα τὸ παράπαν οὐδὲ φύτευμα παντελῶς οὐδέν, οἷον ἀλσῶδες ἤ τι τοιοῦτον. διατρίβουσι δ' ἐν αὐτῷ καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας ἱερεῖς ἁγνείας τινὰς ἀγνεύοντες καὶ τὸ
200 παράπαν οἶνον οὐ πίνοντες ἐν τῷ ἱερῷ." ἔτι γε μὴν ὅτι καὶ Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνεστρατεύσαντο[1] καὶ μετὰ ταῦτα τοῖς διαδόχοις αὐτοῦ μεμαρτύρηκεν· οἷς δ' αὐτὸς παρατυχεῖν φησιν ὑπ' ἀνδρὸς Ἰουδαίου κατὰ τὴν στρατείαν γενομένοις, τοῦτο[2] παραθήσο-
201 μαι. λέγει δ' οὕτως· "ἐμοῦ γοῦν ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν βαδίζοντος συνηκολούθει τις μετὰ τῶν ἄλλων τῶν παραπεμπόντων ἡμᾶς ἱππέων Ἰουδαίων[3] ὄνομα Μοσόλλαμος, ἄνθρωπος ἱκανὸς κατὰ ψυχήν, εὔρωστος καὶ τοξότης[4] δὴ πάντων ὁμολογουμένως[5] καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρ-
202 βάρων ἄριστος. οὗτος οὖν ὁ ἄνθρωπος διαβαδιζόντων πολλῶν κατὰ τὴν ὁδὸν καὶ μάντεώς τινος ὀρνιθευομένου καὶ πάντας ἐπισχεῖν ἀξιοῦντος ἠρώ-
203 τησε, διὰ τί προσμένουσι. δείξαντος δὲ τοῦ μάντεως αὐτῷ τὸν ὄρνιθα καὶ φήσαντος, ἐὰν μὲν αὐτοῦ μένῃ προσμένειν συμφέρειν πᾶσιν, ἐὰν δ' ἀναστὰς εἰς τοὔμπροσθεν πέτηται προάγειν, ἐὰν δ' εἰς τοὔπισθεν ἀναχωρεῖν αὖθις, σιωπήσας καὶ παρελκύσας τὸ τόξον ἔβαλε καὶ τὸν ὄρνιθα πατάξας ἀπέκτεινεν.
204 ἀγανακτούντων δὲ τοῦ μάντεως καί τινων ἄλλων καὶ καταρωμένων αὐτῷ, "τί μαίνεσθε," ἔφη, "κακοδαίμονες;" εἶτα τὸν ὄρνιθα λαβὼν εἰς τὰς χεῖρας, "πῶς γάρ," ἔφη, "οὗτος τὴν αὐτοῦ σωτη-

[1] Eus., Lat.: συνεστρατεύομεν L.
[2] L Eus.: ταῦτα Niese.
[3] Ἰουδαῖος conj. Niese.
[4] + ὑπὸ Eus.
[5] Niese (after Lat.): ὁμολογούμενος L Eus.

قائلاً: "خبروني بالله عليكم كيف يمكن (لطائر) مثل هذا أن يزودنا بالقول (الفصل) عن مسيرتنا، وهو عاجز عن التنبؤ بمصيره وعن درء الخطر عن نفسه؟ إذ لو كان (هذا الطائر) قادراً علي معرفة الغيب، لما سعي إلى حتفه بظلفه ووفد علي هذه المنطقة، معرضا نفسه لخطر القتل بسهم ميشولام اليهودي".

٢٠٥- والآن كفي بنا ما سقناه من هذه الشواهد والبراهين عن نص هيكاتيوس، ذلك أن من اليسير علي الراغبين في معرفة المزيد من المعلومات أن يرجعوا إلى كتابه فيطالعوه. ثم إنني لن أتقاعس من بعد ذلك عن ذكر اسم (الكاتب) أجاثارخيديس[٣٠]، رغم أنه قد أورد ذكرنا فحسب (في مؤلفاته) لكي يسخر من سذاجتنا، وفقاً لما يعتقده في قرارة نفسه.

٢٠٦- ذلك أنه كان يروي قصة تتعلق (بالأميرة) استراتونيكي[٣]، وكيف أنها هجرت زوجها (الملك) ديمتريوس ووفدت من مقدونيا إلى سوريا، وكيف أن أملها قد خاب بعد رفض (الملك) سليوقوس (الثاني) الزواج منها، فأشعلت نار الثورة ضده في أنطاكية، في الوقت الذي كان قد بدأ فيه حملته العسكرية من بابل.

٢٠٧- ثم (يقص علينا) من بعد ذلك كيف أنها - بعد رجوع الملك واحتلال أنطاكية - قد لاذت بالفرار إلى سلوقية[١٥١]. ورغم أنه كان بوسعها أن تبحر من هناك علي جناح السرعة، إلا أنها تقاعست عن الرحيل بسبب (رؤيتها) لحلم أخذ بلبها، فتم القبض عليها وإعدامها.

٢٠٨- وبعد أن حكي أجاثارخيديس هذه الأحداث، وسخر من اعتقاد استراتونيكي (وتصديقها) للخزعبلات، ضرب مثلاً بقصة تتعلق بنا وأوردها في كتابه علي النحو التالي[١٥٢]:

٢٠٩- "كان من عادة (القوم) الذين يلقبون باليهود، والذين يقطنون أكثر المدن كافة تحصيناً - وهي المدينة التي يسميها أهل هذه البلاد باسم هييروسوليما (= أورشليم)- أن يتوقفوا عن العمل طوال اليوم السابع (من كل أسبوع)،

ρίαν οὐ προϊδὼν περὶ τῆς ἡμετέρας πορείας ἡμῖν ἄν τι ὑγιὲς ἀπήγγελλεν; εἰ γὰρ ἠδύνατο προγιγνώσκειν τὸ μέλλον, εἰς τὸν τόπον τοῦτον οὐκ ἂν ἦλθε, φοβούμενος μὴ τοξεύσας αὐτὸν ἀποκτείνῃ Μοσόλλαμος ὁ Ἰουδαῖος."

205 Ἀλλὰ τῶν μὲν Ἑκαταίου μαρτυριῶν ἄλις· τοῖς γὰρ βουλομένοις πλείω μαθεῖν τῷ βιβλίῳ ῥᾴδιόν ἐστιν ἐντυχεῖν. οὐκ ὀκνήσω δὲ καὶ τὸν ἐπ' εὐηθείας διασυρμῷ, καθάπερ αὐτὸς οἴεται, μνήμην
206 πεποιημένον ἡμῶν Ἀγαθαρχίδην ὀνομάσαι. διηγούμενος γὰρ τὰ περὶ Στρατονίκην, ὃν τρόπον ἦλθεν μὲν εἰς Συρίαν ἐκ Μακεδονίας καταλιποῦσα τὸν ἑαυτῆς ἄνδρα Δημήτριον, Σελεύκου δὲ γαμεῖν αὐτὴν οὐ θελήσαντος, ὅπερ ἐκείνη προσεδόκησεν, ποιουμένου [δὲ][1] τὴν ἀπὸ Βαβυλῶνος στρατείαν αὐτοῦ,
207 τὰ περὶ τὴν Ἀντιόχειαν ἐνεωτέρισεν· εἶθ' ὡς ἀνέστρεψεν ὁ βασιλεύς, ἁλισκομένης τῆς Ἀντιοχείας, εἰς Σελεύκειαν φυγοῦσα, παρὸν αὐτῇ ταχέως ἀποπλεῖν, ἐνυπνίῳ κωλύοντι πεισθεῖσα ἐλήφθη καὶ
208 ἀπέθανεν· ταῦτα προειπὼν ὁ Ἀγαθαρχίδης καὶ ἐπισκώπτων τῇ Στρατονίκῃ τὴν δεισιδαιμονίαν παραδείγματι χρῆται τῷ περὶ ἡμῶν λόγῳ καὶ
209 γέγραφεν οὕτως. "οἱ καλούμενοι Ἰουδαῖοι πόλιν οἰκοῦντες ὀχυρωτάτην πασῶν, ἣν καλεῖν Ἱεροσόλυμα συμβαίνει τοὺς ἐγχωρίους, ἀργεῖν εἰθισμένοι δι' ἑβδόμης ἡμέρας καὶ μήτε[2] τὰ ὅπλα βαστάζειν

[1] Om. Lat. [2] Bekker: μηδὲ L.

ولا يحملـون خلال هذا اليوم (المذكور) السلاح أبـــداً، ولا يقربون أعمال الزراعة بأيديهم، ولا يقومون بأداء وظيفة من أي نوع، بل يصلون فقط في معابدهم وهم رافعو الأيدي حتى حلول المساء.

٢١٠- وبالتالي فقد غزا بطلميوس بن لاجوس مدينتهم مصحوباً بقواته العسكرية[١٥٣]، في الوقت الذي كان أهل المدينة منهمكين فيه في حماقتهم وغفلتهم بدلاً من حماية المدينة وحراستها. وهكذا فقد سقطت المدينة في أيدي سيد عنيف جبار، بينما جر الناموس الويل على أهله لاستمساكهم بعادات لا قيمة لها ولا جدوى منها.

٢١١- ولقد علمت خلاصة هذه (التجربة) الناس جميعا - فيما عدا هؤلاء القوم - درساً مؤداه ألا يلوذوا بمثل تلك الأحلام، أو يهربوا إلى مثل هذه التهويمات التراثية المتعلقة بالشريعة والناموس، وإلا فإن عواقبها الوخيمة سوف تكون وبالاً على المنطق الإنساني وتجعله هباءً منثوراً".

٢١٢- إن أجاثارخيديس يتصور أن مثل هـذا (التصـرف من جانبنـا) خليق بالسخرية والاستهزاء، ولكن تصرفنا - على أية حال - بالنسبة لأولئك الذين لا تشوب فكرهم النقدي شائبة من التحيز - يبدو تصرفاً عظيماً وجديراً بالمدح والثناء، طالما وجد أناس (مثلنا) يجعلون دائما الحفاظ على النواميس والتقوى تجاه الله، أفضل شأناً ومقاماً من سلامة أرواحهم ومن مصير وطنهم.

الفصل الثالث والعشرون

٢١٣- ثم إنني أعتقد أنني (قادر أيضاً على) تقديم الدليل على أن هناك نفراً من المؤرخين (قد تعمدوا) إغفال ذكر أمتنا، لا عن جهل منهم بها، بل انطلاقاً من غيرة يحسون بها تجاهها، أو بناء على أسباب أخرى ليست وجيهة ولا مقبولة. (ومن هؤلاء - على سبيل المثال لا على سبيل الحصر) - نجد هييرونيموس[١٥٤]، الذي كتب مؤلفاً تاريخيا عن خلفاء (الإسكندر الأكبر) خلال الفترة الزمنية ذاتها التي عاش إبانها هيكاتيوس، وكان صديقاً للعاهل أنتيجونوس (جوناتاس)[١٥٥]، ثم عين والياً على سوريا.

ἐν τοῖς εἰρημένοις χρόνοις μήτε γεωργίας ἅπτεσθαι μήτε ἄλλης ἐπιμελεῖσθαι λειτουργίας μηδεμιᾶς, ἀλλ' ἐν τοῖς ἱεροῖς ἐκτετακότες τὰς χεῖρας εὔχεσθαι
210 μέχρι τῆς ἑσπέρας, εἰσιόντος εἰς τὴν πόλιν Πτολεμαίου τοῦ Λάγου μετὰ τῆς δυνάμεως καὶ τῶν ἀνθρώπων ἀντὶ τοῦ φυλάττειν τὴν πόλιν διατηρούντων τὴν ἄνοιαν, ἡ μὲν πατρὶς εἰλήφει δεσπότην πικρόν, ὁ δὲ νόμος ἐξηλέγχθη φαῦλον ἔχων ἐθισμόν.
211 τὸ δὲ συμβὰν πλὴν ἐκείνων τοὺς ἄλλους πάντας δεδίδαχε τηνικαῦτα φυγεῖν εἰς[1] ἐνύπνια καὶ τὴν περὶ τοῦ νόμου παραδεδομένην ὑπόνοιαν, ἡνίκα ἂν τοῖς ἀνθρωπίνοις λογισμοῖς περὶ τῶν διαπορου-
212 μένων ἐξασθενήσωσιν." τοῦτο μὲν Ἀγαθαρχίδῃ καταγέλωτος ἄξιον δοκεῖ, τοῖς δὲ μὴ μετὰ δυσμενείας ἐξετάζουσι φαίνεται μέγα καὶ πολλῶν ἄξιον ἐγκωμίων, εἰ καὶ σωτηρίας καὶ πατρίδος ἄνθρωποί τινες νόμων φυλακὴν καὶ τὴν πρὸς θεὸν εὐσέβειαν ἀεὶ προτιμῶσιν.
213 (23) Ὅτι δὲ οὐκ ἀγνοοῦντες ἔνιοι τῶν συγγραφέων τὸ ἔθνος ἡμῶν, ἀλλ' ὑπὸ φθόνου τινὸς ἢ δι' ἄλλας αἰτίας οὐχ ὑγιεῖς τὴν μνήμην παρέλιπον, τεκμήριον οἶμαι παρέξειν. Ἱερώνυμος γὰρ ὁ τὴν περὶ τῶν διαδόχων ἱστορίαν συγγεγραφὼς κατὰ τὸν αὐτὸν μὲν ἦν Ἑκαταίῳ χρόνον, φίλος δ' ὢν Ἀντιγόνου
214 τοῦ βασιλέως τὴν Συρίαν ἐπετρόπευεν. ἀλλ' ὅμως Ἑκαταῖος μὲν καὶ βιβλίον ἔγραψε περὶ ἡμῶν, Ἱερώνυμος δ' οὐδαμοῦ κατὰ τὴν ἱστορίαν ἐμνη-

[1] εἰς L Lat.: om. Grotius, the sense then being "to avoid dreams . . . when . . ."

٢١٤- ففي الوقت الذي دون فيه **هيكاتيوس** كتاباً (بأسره) عن أمتنا (لم يجشم) **هييرونيموس** نفسه عناء ذكر تاريخنا، رغم أنه أمضى (فترة من حياته) تقريبا في أراضي بلادنا. فيا له من (بون شاسع) يفصل بين وجهات نظر هذين الرجلين وآرائهما! إذ اعتقد أحدهما أننا جديرين بعظيم الاعتبار وخليقين بأن نذكر، بينما دفع التحيز الآخر إلى تجاهلنا تماما وإغماط حقنا، جانحاً في هذا الصدد إلى الشطط والبعد عن الحقيقة.

٢١٥- وأيا كان الأمر، فحسبنا (أن يأتي) البرهان (الساطع) على عراقة أرومتنا من سجلات **المصريين والكلدانيين والفينيقيين**، فضلاً عن تلك المؤلفات التاريخية التي دونها عدد وفير من الكتاب الإغريق.

٢١٦- فبالإضافة إلى من سبق ذكرهم نجد أيضاً: **ثيوفيلوس، ثيودوتوس، مناسياس، أرستوفانيس، هرموجينيس، يوهيميروس، كونون، وزوبيرون**[١٥٦]، وربما هناك آخرون كثيرون غيرهم، إذ أنني لم أقم حتي الآن بقراءة جميع الكتب (المتاحة لي)، ولذا فإن استشهاداتي ومقتطفاتي في مجملها تأتي عفو الخاطر.

٢١٧- ولقد أقدم معظم هؤلاء الكتاب السابق ذكرهم (للأسف) على ارتكاب أخطاء ومثالب تشوه حقيقة تاريخنا القديم، نظراً لأنه لم يتسن لهم قراءة كتبنا المقدسة أو الاطلاع عليها. ومع ذلك فقد شهد هؤلاء على بكرة أبيهم بما يشبه الاتفاق علي عراقة (أمتنا)، وهذا هو ما يعنيني الحديث عنه في الوقت الحاضر.

٢١٨- وعلي أية حال فإن **ديمتريوس الفاليري**[١٥٧]، **وفيلون الأكبر، ويوبوليموس**[١٥٨] كانوا هم الأقل ترديا في الخطأ، ثم إن أخطاءهم جديرة بأن تغتفر، هذا إذا ما أخذنا في الاعتبار عدم قدرتهم على متابعة سجلاتنا القديمة أو فهمها بدقة فائقة.

μόνευσε, καίτοι σχεδὸν ἐν τοῖς τόποις διατετριφώς. τοσοῦτον αἱ προαιρέσεις τῶν ἀνθρώπων διήνεγκαν· τῷ μὲν γὰρ ἐδόξαμεν καὶ σπουδαίας εἶναι μνήμης ἄξιοι, τῷ δὲ πρὸς τὴν ἀλήθειαν πάντως τι πάθος
215 οὐκ εὔγνωμον ἐπεσκότησεν. ἀρκοῦσι δ' ὅμως εἰς τὴν ἀπόδειξιν τῆς ἀρχαιότητος αἵ τε Αἰγυπτίων καὶ Χαλδαίων καὶ Φοινίκων ἀναγραφαὶ πρὸς ἐκείναις τε τοσοῦτοι τῶν Ἑλλήνων συγγραφεῖς.
216 ἔτι δὲ καὶ πρὸς τοῖς εἰρημένοις Θεόφιλος καὶ Θεόδοτος καὶ Μνασέας καὶ Ἀριστοφάνης καὶ Ἑρμογένης, Εὐήμερός τε καὶ Κόνων καὶ Ζωπυρίων καὶ πολλοί τινες ἄλλοι τάχα, οὐ γὰρ ἔγωγε πᾶσιν ἐντετύχηκα τοῖς βιβλίοις, οὐ παρέργως ἡμῶν
217 ἐμνημονεύκασιν. οἱ πολλοὶ δὲ τῶν εἰρημένων ἀνδρῶν τῆς μὲν ἀληθείας τῶν ἐξ ἀρχῆς πραγμάτων διήμαρτον, ὅτι μὴ ταῖς ἱεραῖς ἡμῶν βίβλοις ἐνέτυχον, κοινῶς μέντοι περὶ τῆς ἀρχαιότητος ἅπαντες με-
218 μαρτυρήκασιν, ὑπὲρ ἧς τὰ νῦν λέγειν προεθέμην. ὁ μέντοι Φαληρεὺς Δημήτριος καὶ Φίλων ὁ πρεσβύτερος καὶ Εὐπόλεμος οὐ πολὺ τῆς ἀληθείας διήμαρτον. οἷς συγγιγνώσκειν ἄξιον· οὐ γὰρ ἐνῆν αὐτοῖς μετὰ πάσης ἀκριβείας τοῖς ἡμετέροις γράμμασι παρακολουθεῖν.

219 (24) Ἓν ἔτι μοι κεφάλαιον ὑπολείπεται τῶν κατὰ τὴν ἀρχὴν προτεθέντων τοῦ λόγου, τὰς διαβολὰς καὶ

الفصل الرابع والعشرون

٢١٩- ولكن ما زال عليَّ أن أستكمل (إيضاح) موضوع واحد من الموضوعات التي كنت قد طرحتها فيما سبق[١٥٩]، وأعني به إلقاء الضوء على الافتراءات الزائفة التي استخدمت ضدنا، ودحض آراء من دونوها عن طريق (استخدامي) لشواهد وبراهين مستمدة مما قالوه هم أنفسهم.

٢٢٠- وفي تصوري أن الكثيرين ممن يقرأون التاريخ يعرفون (تمام المعرفة) أن هذا المسلك قد وقع بالفعل من جانب كثير من الآخرين، كنتيجة لانحياز البعض أو تعصبهم. ذلك أن هناك نفراً (من الكتاب) قد حاولوا أن يلوثوا (صورة) الشعوب، وأن يقدحوا (في سمعة) المدن ذات الشهرة الذائعة جداً، وأن يحطوا من شأن دساتيرها ونظام حكمها.

٢٢١- فلقد صب **ثيوبومبوس**[١٦٠] جام غضبه على مدينة **الأثينيين**، وحذا حذوه **بوليكراتيس**[١٦١] بالنسبة لمدينة **اللاكيدايمونيين** (= **اسبرطة**)، أما مؤلف **كتاب المدن الثلاث**[١٦٢] Tripolitikos - وهو بالقطع ليس **ثيوبومبوس** كما يعتقد البعض- فقد ركز هجومه على مدينة **الطيبيين**. على حين عمد **تيمايوس**[١٦٣] إلى صب الإهانات في مؤلفاته التاريخية على (رؤوس) هذه المدن السابق ذكرها وعلى غيرها (من المدن).

٢٢٢- (ومن اللافت للنظر) أن (أمثال هؤلاء الكتاب) يصبون جام غضبهم وحنقهم بوجه خاص في هذا المجال على فائقي التميز من الأشخاص، وأن بعضهم يقدم على ذلك حقداً وحسداً وعن سوء طوية، أما الآخرون فيقدمون عليه لاعتقادهم أن مثل هذا الابتداع في الأسلوب سوف يستوجب (تخليد) ذكرهم. ذلك أنهم - بناء على هذا الأمل - لا يعدمون وجود (عدد) من الحمقى الذين لا ينتابهم شك (في صدق رواياتهم)، أما (القراء) ذوي الحكم الثاقب والفكر (الراجح) الصحيح فإنهم سوف يدينون (بالقطع) فساد ضمائرهم واعوجاج خلقهم.

الفصل الخامس والعشرون

٢٢٣- ولقد كان **المصريون** هم أول من شرعوا في قدحنا وصب الإهانات فوق رؤوسنا، ثم جاء من بعدهم نفر جعلوا جل همهم تشويه الحقائق رغبة منهم في إرضاء (**المصريين**) وإدخال السرور على أنفسهم. فترتب على ذلك أنهم لم يقرأوا بدخول أجدادنا الأوائل مصر كحقيقة تم حدوثها، كما أنهم لم يتحروا الصدق فيما يتعلق بخروجهم منها.

τὰς λοιδορίας, αἷς κέχρηνταί τινες κατὰ τοῦ γένους ἡμῶν, ἀποδεῖξαι ψευδεῖς, καὶ τοῖς γεγραφόσι
220 ταύτας καθ' ἑαυτῶν χρήσασθαι μάρτυσιν. ὅτι μὲν οὖν καὶ ἑτέροις τοῦτο πολλοῖς συμβέβηκε διὰ τὴν ἐνίων δυσμένειαν, οἶμαι γιγνώσκειν τοὺς πλέον ταῖς ἱστορίαις ἐντυγχάνοντας. καὶ γὰρ ἐθνῶν τινες καὶ τῶν ἐνδοξοτάτων πόλεων ῥυπαίνειν τὴν εὐγένειαν καὶ τὰς πολιτείας ἐπεχείρησαν λοιδορεῖν,
221 Θεόπομπος μὲν τὴν Ἀθηναίων, τὴν δὲ Λακεδαιμονίων Πολυκράτης, ὁ δὲ τὸν Τριπολιτικὸν γράψας, οὐ γὰρ δὴ Θεόπομπός ἐστιν ὡς οἴονταί τινες, καὶ τὴν Θηβαίων πόλιν προσέδακεν,[1] πολλὰ δὲ καὶ Τίμαιος ἐν ταῖς ἱστορίαις περὶ τῶν προειρημένων
222 καὶ περὶ ἄλλων βεβλασφήμηκεν. μάλιστα δὲ τοῦτο ποιοῦσι τοῖς ἐνδοξοτάτοις προσπλεκόμενοι, τινὲς μὲν διὰ φθόνον καὶ κακοήθειαν, ἄλλοι δὲ διὰ τοῦ καινολογεῖν[2] μνήμης ἀξιωθήσεσθαι νομίζοντες. παρὰ μὲν οὖν τοῖς ἀνοήτοις ταύτης οὐ διαμαρτάνουσι τῆς ἐλπίδος, οἱ δ' ὑγιαίνοντες τῇ κρίσει πολλὴν αὐτῶν μοχθηρίαν καταδικάζουσι.

223 (25) Τῶν δ' εἰς ἡμᾶς βλασφημιῶν ἤρξαντο μὲν Αἰγύπτιοι· βουλόμενοι δ' ἐκείνοις τινὲς χαρίζεσθαι παρατρέπειν ἐπεχείρησαν τὴν ἀλήθειαν, οὔτε τὴν εἰς Αἴγυπτον ἄφιξιν ὡς ἐγένετο τῶν ἡμετέρων προγόνων ὁμολογοῦντες, οὔτε τὴν ἔξοδον ἀλη-
224 θεύοντες. αἰτίας δὲ πολλὰς ἔλαβον τοῦ μισεῖν

[1] So, with Naber, I conjecture, from the Lat. *momordit*: προσέλαβεν L.
[2] Dind.: κενολογεῖν L.

٢٢٤- وفي الحق إن **المصريين** لديهم دوافع كثيرة لإضمار الكراهية والحقد (ضدنا). ويعود السبب الأول (في هذه البغضاء) إلي احتلال أسلافنا الأوائل لبلادهم[١٦٤]، ثم من بعده إلى ازدهار أجدادنا وعلو شأنهم، بعد أن جلوا عنها وقفلوا راجعين إلى ديارهم. ومن ناحية أخري كان هناك تناقض صارخ واختلاف كبير بين ديننا وبين معتقداتهم التي يؤمنون بها، وهو أمر أدى إلى استفحال العداوة وتزايدها بين الجانبين، خاصة فيما يتعلق بالاختلاف بين طبيعة الله (الواحد) وبين (المعبودات التي تتخذ صورة) حيوانات عجماوات لا تعقل ولا تفقه.

٢٢٥- ذلك أن سنة السلف عندهم كانت تقضي عليهم بوجه عام أن يؤمنوا بأن هذه (الحيوانات) آلهة يتخذونها لأنفسهم، ولم يكن هناك خلاف بينهم في هذا الأمر، إلا فيما يتعلق بمظاهر التكريم والتقديس التي (تؤدي) لهذه المعبودات[١٦٥]. (ولقد ترتب علي ذلك) أن هؤلاء الناس - ذوي الألباب الخاوية، والذين لا يكادون يفقهون (قولاً) في أعين سائر البشر - قد نشأوا منذ البدء علي تبني أفكار مغلوطة عن الأرباب، وبناء علي ذلك لم يكن في وسعهم أن يحاكوا جدية لاهوتنا، كما أنهم كانوا يعضون أناملهم غيظاً وكمداً، كلما رأوا كثرة عدد المعجبين بنا.

٢٢٦- ذلك أن نفرا من بين ظهرانيهم قد وصل بهم الحمق وضيق الأفق إلى المدى الذي حدا بهم إلى عدم التردد أو الإحجام عن الوقوع في التناقض عند التعامل مع سجلاتهم القديمة ذاتها، بل إنهم تردوا في غياهب الضلالة والعمى والميل مع الهوي، فعجزوا عن إدراك أنهم - في أثناء تدوينهم (للتاريخ) - إنما يقعون في التناقض مع أنفسهم.

الفصل السادس والعشرون

٢٢٧- وأول (كاتب) أود أن أتوقف بحديثي عنده (بعض الوقت)، إنما هو ذلك الذي اتخذت قبلا - منذ برهة وجيزة[١٦٦] - من (أقواله في مؤلفاته) دليلاً وبرهاناً علي عراقة (أمتنا).

٢٢٨- وأعني به **مانيثون**. إذ وعد هذا (المؤرخ) أنه سوف يقوم بترجمة التاريخ المصري (القديم) من السجلات والكتب المقدسة، ثم طفق يتحدث في البداية عن (أن) أجدادنا قد غزوا مصر بآلاف مؤلفة (من البشر)، وأنهم أخضعوا سكانها لسلطانهم. ثم يقر بعد ذلك بأنهم- بعد أن طردوا منها في زمن لاحق- رجعوا ليحتلوا (ما يعرف) الآن باسم **أرض يهودية**، وليؤسسوا **أورشليم** وليبنوا المعبد، وكان **مانيثون** حتى هذه النقطة يسير وفق السجلات المدونة.

καὶ φθονεῖν, τὸ μὲν ἐξ ἀρχῆς ὅτι κατὰ τὴν χώραν αὐτῶν ἐδυνάστευσαν ἡμῶν οἱ προγονοι κἀκεῖθεν ἀπαλλαγέντες ἐπὶ τὴν οἰκείαν πάλιν εὐδαιμόνησαν. εἶθ' ἡ τούτων[1] ὑπεναντιότης πολλὴν αὐτοῖς ἐνεποίησεν ἔχθραν, τοσοῦτον τῆς ἡμετέρας διαφερούσης εὐσεβείας πρὸς τὴν ὑπ' ἐκείνων νενομισμένην,
225 ὅσον θεοῦ φύσις ζῴων ἀλόγων διέστηκε. κοινὸν μὲν γὰρ αὐτοῖς ἐστι πάτριον τὸ ταῦτα θεοὺς νομίζειν, ἰδίᾳ δὲ πρὸς ἀλλήλους ἐν ταῖς τιμαῖς αὐτῶν διαφέρονται. κοῦφοι δὲ καὶ ἀνόητοι παντάπασιν ἄνθρωποι, κακῶς ἐξ ἀρχῆς εἰθισμένοι δοξάζειν περὶ θεῶν, μιμήσασθαι μὲν τὴν σεμνότητα τῆς ἡμετέρας θεολογίας οὐκ ἐχώρησαν, ὁρῶντες δὲ ζηλουμένους
226 ὑπὸ πολλῶν ἐφθόνησαν. εἰς τοσοῦτον γὰρ ἦλθον ἀνοίας καὶ μικροψυχίας ἔνιοι τῶν παρ' αὐτοῖς, ὥστ' οὐδὲ ταῖς ἀρχαίαις αὐτῶν ἀναγραφαῖς ὤκνησαν ἐναντία λέγειν, ἀλλὰ καὶ σφίσιν αὐτοῖς ἐναντία γράφοντες ὑπὸ τυφλότητος τοῦ πάθους ἠγνόησαν.

227 (26) Ἐφ' ἑνὸς δὲ πρώτου στήσω τὸν λόγον, ᾧ καὶ μάρτυρι μικρὸν ἔμπροσθεν τῆς ἀρχαιότητος ἐχρη-
228 σάμην. ὁ γὰρ Μανέθως οὗτος, ὁ τὴν Αἰγυπτιακὴν ἱστορίαν ἐκ τῶν ἱερῶν γραμμάτων μεθερμηνεύειν ὑπεσχημένος, προειπὼν τοὺς ἡμετέρους προγόνους πολλαῖς μυριάσιν ἐπὶ τὴν Αἴγυπτον ἐλθόντας κρατῆσαι τῶν ἐνοικούντων, εἶτ' αὐτὸς ὁμολογῶν χρόνῳ πάλιν ὕστερον ἐκπεσόντας τὴν νῦν Ἰουδαίαν κατασχεῖν καὶ κτίσαντας Ἱεροσόλυμα τὸν νεὼν κατασκευάσασθαι, μέχρι μὲν τούτων ἠκολού-

[1] τούτων L Lat.: τῶν ἱερῶν Spanheim.

٢٢٩- غير أنه بعد ذلك - تحت ذريعة اتخذها لتسوغ له تدوين ما يقال وما يتواتر من روايات أسطورية عن اليهود - (سمح لنفسه) بأن يقحم علي السياق أو يدس في ثناياه قصصاً لا تستند إلي عقل أو منطق. وكان مبتغاه من وراء ذلك هو أن يوحي إلى (الناس) بأننا قد امتزجنا (عرقياً) مع حشد من المصريين المصابين بالجذام وبأمراض أخري[١٦٧]، وأن هؤلاء هم الذين - كما يزعم - تم الحكم عليهم بالنفي من (أرض) مصر.

٢٣٠- ولذا فقد ابتدع[١٦٨] ملكاً (يقال له) **أمينوفيس** - وهو اسم مختلق، وبالتالي فلم يجسر أن يحدد تاريخاً زمنياً لمدة حكمه، رغم أنه (اعتاد) أن يزودنا بعدد السنوات التي تحدد مدد حكم الملوك الآخرين بدقة - ونسب إليه عدداً من القصص الأسطورية. ومن المرجح أنه قد نسي أنه قد سبق له القول بأن رحيل الرعاة إلى أورشليم، قد حدث قبل (ذلك الوقت) بمدة خمسمائة وثمانية عشر عاماً[١٦٩].

٢٣١- ذلك أنهم رحلوا عندما كان **تثموسيس** ملكاً[١٧٠]، وتبعاً (لما قاله مانيثون نفسه) فإن سنوات حكم الملوك المتعاقبين من بعده تبلغ في عددها ثلاثمائة وثلاثة وتسعين عاماً[١٧١]، إلى أن نصل إلى عهد الأخوين **سيثوس وهرمايوس**[١٧٢]. حيث يخبرنا بأن أولهما وهو **سيثوس** قد اتخذ اسم **آيْجيبتوس**، وأن الثاني وهو **هرمايوس** قد اتخذ اسم **داناؤوس**[١٧٣]. وبعد أن تسني للملك **سيثوس** طرد أخيه (**هرمايوس**)، حكم (مصر) لمدة تسع وخمسين سنة، بينما حكم أكبر أبنائه (المدعو) **رامبسيس** (البلاد) لمدة ست وستين سنة.

229 θησε ταῖς ἀναγραφαῖς. ἔπειτα δὲ δοὺς ἐξουσίαν
αὐτῷ διὰ τοῦ φάναι γράψειν τὰ μυθευόμενα καὶ
λεγόμενα περὶ τῶν Ἰουδαίων λόγους ἀπιθάνους
παρενέβαλεν, ἀναμῖξαι βουλόμενος ἡμῖν πλῆθος
Αἰγυπτίων λεπρῶν καὶ ἐπὶ ἄλλοις ἀρρωστήμασιν,
ὡς φησι, φυγεῖν ἐκ τῆς Αἰγύπτου καταγνωσθέντων.
230 Ἀμένωφιν γὰρ βασιλέα προσθείς, ψευδὲς ὄνομα,
καὶ διὰ τοῦτο χρόνον αὐτοῦ τῆς βασιλείας ὁρίσαι
μὴ τολμήσας, καίτοι γε ἐπὶ τῶν ἄλλων βασιλέων
ἀκριβῶς τὰ ἔτη προστιθείς, τούτῳ προσάπτει
τινὰς μυθολογίας, ἐπιλαθόμενος σχεδὸν ὅτι πεν-
τακοσίοις ἔτεσι καὶ δεκαοκτὼ πρότερον ἱστόρηκε
γενέσθαι τὴν τῶν ποιμένων ἔξοδον εἰς Ἱεροσόλυμα.
231 Τέθμωσις γὰρ ἦν βασιλεὺς ὅτε ἐξῆεσαν, ἀπὸ δὲ
τούτου τῶν μεταξὺ[1] βασιλέων κατ' αὐτόν ἐστι
τριακόσια ἐνενηκοντατρία ἔτη μέχρι τῶν δύο
ἀδελφῶν Σέθω καὶ Ἑρμαίου, ὧν τὸν μὲν Σέθων
Αἴγυπτον, τὸν δὲ Ἕρμαιον Δαναὸν μετονομα-
σθῆναί φησιν, ὃν ἐκβαλὼν ὁ Σέθως ἐβασίλευσεν
ἔτη νθ' καὶ μετ' αὐτὸν ὁ πρεσβύτερος τῶν υἱῶν
232 αὐτοῦ Ῥάμψης ξς'. τοσούτοις οὖν πρότερον ἔτεσιν
ἀπελθεῖν ἐξ Αἰγύπτου τοὺς πατέρας ἡμῶν ὡμο-
λογηκὼς εἶτα τὸν Ἀμένωφιν εἰσποιήσας ἐμβόλιμον

[1] τούτου τῶν μεταξὺ (after Lat.) Niese: τούτων μεταξὺ τῶν L.

٢٣٢- وبعد أن أقر (مانيثون) بأن كل هذه السنوات قد انقضت ومرت منذ أن رحل آباؤنا عن (أرض) مصر، نجده يعود بعد ذلك ليقحم اسم الملك المدسوس **أمينوفيس**، ثم يقول بعدها أن هذا الملك استولت عليه رغبة (ملحة) مثلما استولت من قبل علي "أور"[١٧٤]، وهو واحد من الذين تولوا الملك من قبله- في أن يحظى برؤية الأرباب. ولذلك فقد نقل رغبته هذه إلي سميه **أمينوفيس بن بابيس**[١٧٥]، الذي اعتبر نظراً لحكمته (وقدرته علي) التنبؤ بأحداث المستقبل مشاركاً (للأرباب) في طبيعتهم القدسية.

٢٣٣- ولقد أنهي إليه سميه هذا حينئذ بأنه سيصبح في وسعه أن يري الأرباب، لو أنه قام بتطهير البلاد كلها من المصابين بالجذام، ومن الأشخاص الآخرين الذين أصابهم الدنس.

٢٣٤- وحيث أن هذا (الرأي) قد صادف هوي في نفس الملك وأدخل السرور إلى قلبه، فقد بادر إلي جمع كل المشوهين في أجسامهم من كل بقاع مصر، ويقدر مجموعهم في الإجمال بنحو ٨٠,٠٠٠ شخص.

٢٣٥- ثم أرسل هؤلاء لكي يعملوا في المحاجر[١٧٦] الواقعة في المنطقة الشرقية من (نهر) النيل، بعد أن تم عزلهم عن سائر المصريين الآخرين. وأضاف قائلاً بأنه كان من ضمن هؤلاء المصابين بالجذام نفر من الكهنة المتفيقهين.

٢٣٦- غير أن **أمينوفيس (بن بابيس)**، ذلك الرجل الحكيم وذلك العراف (القدير) - شعر بالخوف من أن يجلب علي نفسه وعلي سميه الملك غضب الأرباب، فيما لو انكشف أمر هؤلاء الذين عاملوا هؤلاء (المنبوذين) بفظاظة وقسوة. ثم أردف قائلاً بأنه سوف يوجد (في المستقبل) حلفاء (لهؤلاء) المدنسين، وأنه سوف يقدر لهم أن يحكموا مصر لمدة ثلاثة عشر عاماً. ولم يجسر هذا (الحكيم) علي أن يتفوه بهذه الأمور للملك، بل ترك (له) رسالة مكتوبة عن هذه الأمور كافة ثم أنهي حياته بيده، ولقد أصاب (موته) الملك بحالة من اليأس المرير.

βασιλέα φησὶ τοῦτον ἐπιθυμῆσαι θεῶν γενέσθαι θεατήν, ὥσπερ Ὧρ εἷς τῶν πρὸ αὐτοῦ βεβασιλευκότων, ἀνενεγκεῖν δὲ τὴν ἐπιθυμίαν ὁμωνύμῳ μὲν αὐτῷ Ἀμενώφει, πατρὸς δὲ Παάπιος[1] ὄντι, θείας δὲ δοκοῦντι μετεσχηκέναι φύσεως κατά τε
233 σοφίαν καὶ πρόγνωσιν τῶν ἐσομένων. εἰπεῖν οὖν αὐτῷ τοῦτον τὸν ὁμώνυμον ὅτι δυνήσεται θεοὺς ἰδεῖν, εἰ καθαρὰν ἀπό τε λεπρῶν καὶ τῶν ἄλλων μιαρῶν ἀνθρώπων τὴν χώραν ἅπασαν ποιήσειεν.
234 ἡσθέντα δὲ τὸν βασιλέα πάντας τοὺς τὰ σώματα λελωβημένους ἐκ τῆς Αἰγύπτου συναγαγεῖν· γενέ-
235 σθαι δὲ τὸ πλῆθος[2] μυριάδας ὀκτώ· καὶ τούτους εἰς τὰς λιθοτομίας τὰς ἐν τῷ πρὸς ἀνατολὴν μέρει τοῦ Νείλου ἐμβαλεῖν αὐτόν, ὅπως ἐργάζοιντο καὶ τῶν ἄλλων Αἰγυπτίων εἶεν κεχωρισμένοι.[3] εἶναι δέ τινας ἐν αὐτοῖς καὶ τῶν λογίων ἱερέων φησὶ λέπρᾳ
236 συνεχομένους.[4] τὸν δὲ Ἀμένωφιν ἐκεῖνον, τὸν σοφὸν καὶ μαντικὸν ἄνδρα, ὑποδεῖσαι[5] πρὸς αὐτόν τε καὶ τὸν βασιλέα χόλον τῶν θεῶν, εἰ βιασθέντες ὀφθήσονται· καὶ προσθέμενον εἰπεῖν ὅτι συμμαχήσουσί τινες τοῖς μιαροῖς καὶ τῆς Αἰγύπτου κρατήσουσιν ἐπ' ἔτη δεκατρία, μὴ τολμῆσαι μὲν αὐτὸν εἰπεῖν ταῦτα τῷ βασιλεῖ, γραφὴν δὲ καταλιπόντα περὶ πάντων ἑαυτὸν ἀνελεῖν, ἐν ἀθυμίᾳ
237 δὲ εἶναι τὸν βασιλέα. κἄπειτα κατὰ λέξιν οὕτως γέγραφεν· "τῶν δ' ἐν ταῖς λατομίαις ὡς χρόνος

[1] *ed. pr.* (*cf.* § 243): Πάπιος L.
[2] Niese (after Lat.): τοῦ πλήθους L.
[3] εἶεν κεχ. (with Holwerda): οἱ ἐγκεχωρισμένοι L.
[4] Dindorf: συγκεχυμένους L.
[5] Dind.: ὑποδεῖσθαι L.

٢٣٧- ثم دون (مانيثون) بعد ذلك (النص) التالي الذي (سوف أقتبسه) حرفياً:

"وبعد أن أمضي هؤلاء (المنبوذون) في المحاجر ردحاً طويلاً من الزمن في تعاسة وشقاء، استجاب الملك أمينوفيس لالتماس مقدم منهم، يرجون فيه منحهم مدينة أواريس - التي كانت آنذاك مقفرة من سكانها الرعاة - مقراً لسكنهم ومأوي يحميهم؛ وكانت المدينة تبعاً لإحدى (الروايات) اللاهوتية قد صارت مخصصة (للإله) طيفون[١٧٧].

٢٣٨- ومن ثم فقد دخل هؤلاء المنبوذون (المدينة) واتخذوا منها مقراً (يستخدمونه قاعدة) للتمرد والثورة، وعينوا واحداً من كهنة هليوبوليس (= أون= عين شمس)، يدعى أوزارسيفوس[١٧٨]، قائداً عليهم، وأقسموا علي طاعته والامتثال لأمره في كافة الأمور.

٢٣٩- وكان أول قانون استنه هذا (الكاهن) لهم يقضي بألا يعبدوا أرباب (مصر)، وألا يُحرموا علي أنفسهم بوجه خاص (أكل لحوم أي) من الحيوانات التي تقضي القوانين بتقديسها في مصر، بل أن يضحوا بها كافة وأن يأكلوا لحومها، وألا يرتبطوا بأي كائن من كان فيما عدا حلفائهم الذين أقسموا يمين الولاء لهم.

٢٤٠- وبعد أن استن لهم (أوزارسيفوس) هذه التشريعات وقوانين أخري كثيرة مماثلة لها - تناهض علي وجه الخصوص الأعراف والتقاليد المصرية - أصدر أوامره بتضافر كل الأيدي من أجل ترميم أسوار المدينة وإصلاحها ، وبالاستعداد لشن الحرب ضد الملك أمينوفيس.

٢٤١- وبعد أن استمال هذا (الكاهن) إلي صفه سائر الكهنة الآخرين المدنسين (والمنبوذين مثله)، أرسل السفراء إلي الرعاة، الذين كان طردهم (من مصر) قد تم علي يد (الملك) تيثموسيس، في مدينتهم التي تدعي أورشليم، كي يبينوا لهم الظروف التي حاقت به وبزملائه الذين لحقت بهم الإهانة والعسف، وكي يطلبوا منهم تأليف جيش موحد ينقضون به علي مصر.

٢٤٢- ولقد آلى هذا (الكاهن) علي نفسه أن يسير برفقتهم أولاً إلى أواريس التي كانت فيما مضي وطنا لأسلافهم، وأن يزودهم بمؤونة بالغة السخاء والوفرة تسد حاجة حشودهم الغفيرة، وأن يقاتل دفاعاً عنهم عندما يقتضي الأمر، وأن يخضع البلاد لسلطتهم، وأن يذلل كل عقبة (تقف في سبيل ذلك الهدف).

ἱκανὸς διῆλθεν ταλαιπωρούντων, ἀξιωθεὶς ὁ βασι-
λεὺς ἵνα πρὸς κατάλυσιν αὐτοῖς καὶ σκέπην ἀπο-
μερίσῃ τὴν τότε τῶν ποιμένων ἐρημωθεῖσαν πόλιν
Αὔαριν συνεχώρησεν· ἔστι δ' ἡ πόλις κατὰ τὴν
238 θεολογίαν ἄνωθεν Τυφώνιος. οἱ δὲ εἰς ταύτην
εἰσελθόντες καὶ τὸν τόπον τοῦτον εἰς ἀπόστασιν
ἔχοντες, ἡγεμόνα αὐτῶν λεγόμενόν τινα τῶν
Ἡλιοπολιτῶν ἱερέων Ὀσάρσιφον ἐστήσαντο καὶ
τούτῳ πειθαρχήσοντες[1] ἐν πᾶσιν ὡρκωμότησαν.
239 ὁ δὲ πρῶτον μὲν αὐτοῖς νόμον ἔθετο μήτε προσ-
κυνεῖν θεοὺς μήτε τῶν μάλιστα ἐν Αἰγύπτῳ
θεμιστευομένων ἱερῶν ζῴων ἀπέχεσθαι μηδενός,
πάντα δὲ θύειν καὶ ἀναλοῦν, συνάπτεσθαι δὲ
240 μηδενὶ πλὴν τῶν συνωμοσμένων. τοιαῦτα δὲ
νομοθετήσας καὶ πλεῖστα ἄλλα μάλιστα τοῖς
Αἰγυπτίοις ἐθισμοῖς ἐναντιούμενα ἐκέλευσεν πολυ-
χειρίᾳ τὰ τῆς πόλεως ἐπισκευάζειν τείχη καὶ πρὸς
πόλεμον ἑτοίμους γίνεσθαι τὸν πρὸς Ἀμένωφιν τὸν
241 βασιλέα. αὐτὸς δὲ προσλαβόμενος μεθ' ἑαυτοῦ
καὶ τῶν ἄλλων ἱερέων καὶ συμμεμιαμμένων ἔπεμψε
πρέσβεις πρὸς τοὺς ὑπὸ Τεθμώσεως ἀπελασθέντας
ποιμένας εἰς πόλιν τὴν καλουμένην Ἱεροσόλυμα,
καὶ τὰ καθ' ἑαυτὸν καὶ τοὺς ἄλλους τοὺς συν-
ατιμασθέντας δηλώσας ἠξίου συνεπιστρατεύειν ὁμο-
242 θυμαδὸν ἐπ' Αἴγυπτον. ἐπάξειν[2] μὲν οὖν αὐτοὺς
ἐπηγγείλατο πρῶτον μὲν εἰς Αὔαριν τὴν προγονικὴν
αὐτῶν πατρίδα καὶ τὰ ἐπιτήδεια τοῖς ὄχλοις
παρέξειν ἀφθόνως, ὑπερμαχήσεσθαι δὲ ὅτε δέοι
καὶ ῥᾳδίως ὑποχείριον αὐτοῖς τὴν χώραν ποιήσειν.

[1] *ed. pr.*: -ήσαντες L. [2] ἐπανάξειν Cobet.

٢٤٣- أما (الرعاة) فقد اغتبطوا أشد الاغتباط بهذا (المسعى)، وانطلقوا على بكرة أبيهم والشوق يغمرهم في جيش قوامه ٢٠٠,٠٠٠ رجل، ولم ينقض زمن طويل حتى وصلوا إلى مشارف أواريس. وعندما تناهي إلى سمع أمينوفيس، ملك المصريين، أنباء غزو أولئك القوم تملكه اضطراب لا مزيد عليه، ودب الذعر في نفسه، عندما تذكر نبوءة أمينوفيس بن بابيس وتحذيراته.

٢٤٤- وبادئ ذي بدء، شرع (الملك أمينوفيس) في جمع حشود المصريين، وأجرى مشاورات مع زعمائهم وقادتهم، ثم بعث بعدها طالباً موافاته بالحيوانات المقدسة التي كانت تحظي بوجه خاص بأقصى مظاهر التكريم في المعابد، ثم أصدر تعليماته للكهنة في كل منطقة بأن يقوموا بإخفاء تماثيل الأرباب، والمحافظة عليها وتأمينها قدر الإمكان.

٢٤٥- كذلك عهد (الملك أمينوفيس) بابنه سيثوس البالغ من العمر خمس سنوات، والملقب أيضاً باسم رامبسيس والذي سماه علي اسم والده رامبسيس[١٧٩]، إلي رعاية صديق وفي له[١٨٠]، ثم قام بعدها بعبور (نهر النيل) مصحوباً بثلاثمائة ألف من أقدر المحاربين المصريين علي القتال، وتوجه بهم للقاء الأعداء.

٢٤٦- غير أنه لم يتقدم لمنازلتهم، بل قفل عائداً أدراجه إلى (مدينة) ممفيس، بناء علي اعتقاد راوده، مؤداه أنه مقدم بذلك علي شن الحرب ضد الآلهة. ومن ثم فقد أخذ معه أبيس والحيوانات الأخرى المقدسة التي كان قد بعث في طلبها من هناك، وغذ الخطي في التو متوجهاً برفقة جيشه بأسره وبحشد غفير من المصريين صوب إثيوبيا، حيث إن ملك الإثيوبيين كان خاضعاً لسلطته وقائماً علي خدمته.

٢٤٧- ولقد استقبله هذا (الملك) بود وترحاب، ووفر لجيشه ولحشود شعبه على بكرة أبيهم ما يحتاجون إليه من منتجات، وما يناسبهم كبشر من غذاء تنتجه بلاده، كما خصص لإقامتهم مدناً وقري تكفيهم لقضاء المدة الزمنية المقدرة لنفي مليكهم، وهي ثلاث عشرة سنة بعيداً عن مقر حكمه الملكي؛ ثم إنه علاوة علي ذلك كله، جهز جيشاً إثيوبياً يعسكر علي حدود مصر لحماية الملك أمينوفيس.

243 οἱ δὲ ὑπερχαρεῖς γενόμενοι πάντες προθύμως εἰς κ' μυριάδας ἀνδρῶν συνεξώρμησαν καὶ μετ' οὐ πολὺ ἦκον εἰς Αὔαριν. Ἀμένωφις δ' ὁ τῶν Αἰγυπτίων βασιλεὺς ὡς ἐπύθετο τὰ κατὰ τὴν ἐκείνων ἔφοδον, οὐ μετρίως συνεχύθη τῆς παρὰ Ἀμενώφεως τοῦ Παάπιος μνησθεὶς προδηλώσεως.
244 καὶ πρότερον συναγαγὼν πλῆθος Αἰγυπτίων καὶ βουλευσάμενος μετὰ τῶν ἐν τούτοις ἡγεμόνων τά τε ἱερὰ ζῷα τὰ [πρῶτα][1] μάλιστα ἐν τοῖς ἱεροῖς τιμώμενα ὡς ἑαυτὸν[2] μετεπέμψατο καὶ τοῖς κατὰ μέρος ἱερεῦσι παρήγγελλεν ὡς ἀσφαλέστατα τῶν
245 θεῶν συγκρύψαι τὰ ξόανα. τὸν δὲ υἱὸν Σέθων, τὸν καὶ Ῥαμέσσην ἀπὸ Ῥαψηοῦς τοῦ πατρὸς ὠνομασμένον, πενταέτη ὄντα ἐξέθετο πρὸς τὸν ἑαυτοῦ φίλον. αὐτὸς δὲ διαβὰς ‹σὺν› τοῖς ἄλλοις Αἰγυπτίοις, οὖσιν εἰς τριάκοντα μυριάδας ἀνδρῶν μαχιμωτάτων, καὶ τοῖς πολεμίοις ἀπ-
246 αντήσας[3] οὐ συνέβαλεν, ἀλλὰ μέλλειν[4] θεομαχεῖν νομίσας παλινδρομήσας ἦκεν εἰς Μέμφιν, ἀναλαβών τε τόν τε Ἄπιν καὶ τὰ ἄλλα τὰ ἐκεῖσε μεταπεμφθέντα ἱερὰ ζῷα εὐθὺς εἰς Αἰθιοπίαν σὺν ἅπαντι τῷ στόλῳ καὶ πλήθει τῶν Αἰγυπτίων ἀνήχθη· χάριτι γὰρ ἦν αὐτῷ ὑποχείριος ὁ τῶν Αἰθιόπων βασιλεύς.
247 ὃς[5] ὑποδεξάμενος καὶ τοὺς ὄχλους πάντας ὑπολαβὼν οἷς ἔσχεν ἡ χώρα τῶν πρὸς ἀνθρωπίνην τροφὴν ἐπιτηδείων, καὶ πόλεις καὶ κώμας πρὸς τὴν τῶν πεπρωμένων τρισκαίδεκα ἐτῶν ἀπὸ τῆς ἀρχῆς αὐτοῦ[6] ἔκπτωσιν αὐτάρκεις, οὐχ ἧττον δὲ καὶ

[1] Om. Lat. [2] Niese: ὥς γε αὐτὸν L.
[3] Niese (after Lat.): ἀπαντήσασιν L.
[4] μὴ δεῖν (*cf.* § 263) Herwerden.
[5] Niese (after Lat.): ὅθεν L.
[6] + εἰς τὴν L; a verb such as παρέσχεν is desiderated.

٢٤٨- كانت الأمور في إثيوبيا تسير على مثل هذه الوتيرة، أما فيما يتعلق بالسوليميتيين[١٨١]، فقد هبطوا (إلى البلاد) ومعهم (المنبوذون) المدنسون من المصريين، وساموا الناس سوء العذاب بغير ورع ولا تقوى، لدرجة أن سطوة سابقيهم (من الرعاة) سالفي الذكر قد بدت (عصرا) ذهبياً، في أعين أولئك الذين شاهدوا آنذاك أفعالهم التي لم تراع حرمة ولا شريعة.

٢٤٩- ذلك أنهم لم يكتفوا بإضرام النار في المدن والقرى، لا ولم يقنعوا بنهب المعابد وتدنيس تماثيل الأرباب وصورهم، بل (سولت لهم أنفسهم) أن يتخذوا قدس الأقداس في المعابد بمثابة مطابخ يستخدمونها (في شيّ) أكثر الحيوانات قدسية وتبجيلاً. ثم إنهم أجبروا الكهنة والربانيين (المتنبئين) قسراً عليّ أن يصبحوا قصابين فيذبحونها، ثم إنهم كانوا يلقون بالكهنة بعد ذلك وهم عراة (خارج معابدهم).

٢٥٠- ويقال إن الكاهن الذي منح هؤلاء دستورهم وشرائعهم كان مواطنا ينتمي نسبه إلى مدينة هليوبوليس، ويسمي أوزارسيف[١٨٢] نسبة إلى أوزيريس الإله المعبود في مدينة هليوبوليس، وأنه حينما توجه للإقامة مع هؤلاء القوم غير اسمه وأصبح يسمي باسم موئيسيس (= موسي)".

الفصل السابع والعشرون

٢٥١- هذا إذن هو ما كان يتناقله المصريون من معلومات عن اليهود، بالإضافة إلى روايات أخرى أكثر عدداً، أغض الطرف عنها (هنا) نشدانا للاختصار والإيجاز. ويعود مانيثون فيذكر من جديد أن أمينوفيس قد تقدم بعد ذلك من إثيوبيا بجيش جرار، كما تقدم ابنه رامبسيس بقوات حربية (غفيرة)، وشنا معاً هجوماً (كاسحاً) علي الرعاة وعلي (المنبوذين) المدنسين، وهزموهم وشتتوا شملهم وقتلوا منهم عدداً كبيراً، ثم طاردوا فلولهم حتى حدود سوريا.

στρατόπεδον Αἰθιοπικὸν πρὸς φυλακὴν ἐπέταξε
τοῖς παρ' Ἀμενώφεως τοῦ βασιλέως ἐπὶ τῶν
248 ὁρίων τῆς Αἰγύπτου. καὶ τὰ μὲν κατὰ τὴν Αἰθιο-
πίαν τοιαῦτα· οἱ δὲ Σολυμῖται κατελθόντες σὺν
τοῖς μιαροῖς τῶν Αἰγυπτίων οὕτως ἀνοσίως[1] τοῖς
ἀνθρώποις προσηνέχθησαν, ὥστε τὴν τῶν προειρη-
μένων κράτησιν χρυσὸν φαίνεσθαι τοῖς τότε τὰ
249 τούτων ἀσεβήματα θεωμένοις· καὶ γὰρ οὐ μόνον
πόλεις καὶ κώμας ἐνέπρησαν, οὐδὲ ἱεροσυλοῦντες
οὐδὲ λυμαινόμενοι ξόανα θεῶν ἠρκοῦντο, ἀλλὰ καὶ
τοῖς ἀδύτοις[2] ὀπτανίοις τῶν σεβαστευομένων ἱερῶν
ζῴων χρώμενοι διετέλουν, καὶ θύτας καὶ σφαγεῖς
τούτων ἱερεῖς καὶ προφήτας ἠνάγκαζον γίνεσθαι
250 καὶ γυμνοὺς ἐξέβαλλον. λέγεται δὲ ὅτι ‹ὁ› τὴν
πολιτείαν καὶ τοὺς νόμους αὐτοῖς καταβαλόμενος
ἱερεὺς τὸ γένος Ἡλιοπολίτης ὄνομα Ὀσαρσὶφ
ἀπὸ τοῦ ἐν Ἡλιουπόλει θεοῦ Ὀσίρεως, ὡς μετ-
έβη εἰς τοῦτο τὸ γένος, μετετέθη τοὔνομα καὶ
προσηγορεύθη Μωυσῆς."

251 (27) Ἃ μὲν οὖν Αἰγύπτιοι φέρουσι περὶ τῶν Ἰου-
δαίων ταῦτ' ἐστὶ καὶ ἕτερα πλείονα, ἃ παρίημι
συντομίας ἕνεκα. λέγει δὲ ὁ Μανέθως πάλιν ὅτι
μετὰ ταῦτα ἐπῆλθεν ὁ Ἀμένωφις ἀπὸ Αἰθιοπίας
μετὰ μεγάλης δυνάμεως καὶ ὁ υἱὸς αὐτοῦ Ῥάμψης,
καὶ αὐτὸς ἔχων δύναμιν, καὶ συμβαλόντες οἱ δύο
τοῖς ποιμέσι καὶ τοῖς μιαροῖς ἐνίκησαν αὐτοὺς καὶ
πολλοὺς ἀποκτείναντες ἐδίωξαν αὐτοὺς ἄχρι τῶν
252 ὁρίων τῆς Συρίας. ταῦτα μὲν καὶ τὰ τοιαῦτα
Μανέθως συνέγραψεν· ὅτι δὲ ληρεῖ καὶ ψεύδεται

[1] + καὶ L. [2] Bekker: αὐτοῖς L.

٢٥٢- كان هذا ما دونه مانيثون في كتابه بالإضافة إلى تفاصيل أخرى مماثلة. ولسوف أظهر بجلاء أنه يهرف بما لا يعرف وأنه يكذب ويزيف، غير أنني أود قبلها أن أورد ملاحظة كي (أفند بها) المزاعم التي سوف ترد علي ألسنة الكتاب الآخرين فيما بعد. ذلك أن مانيثون قد أسدى إلينا (صنيعاً محموداً)، فأقر منذ البدء بأن جنسنا لا ينتمي للمصريين، وأن (أسلافنا) قد وفدوا إلى مصر من منطقة خارج حدودها، وأنهم احتلوا مصر ولكنهم فيما بعد جلوا عن أرضها.

٢٥٣- ولسوف أبذل (قصارى) جهدي (الآن) - معتمداً علي أقوال مانيثون نفسه - من أجل إثبات أننا لم نخالط من بعد تلك الأحداث طوائف المصريين ذوي الأجساد المشوهة، وأن موسى (عليه السلام) زعيم قومنا لم يكن واحداً من هؤلاء، وأنه عاش قبلهم بأجيال كثيرة.

الفصل الثامن والعشرون

٢٥٤- فبادئ ذي بدء نجد (مانيثون) يفترض لقصته المختلقة سبباً يدعو حقاً إلى الرثاء والسخرية، فهو يقول إن الملك أمينوفيس قد رغب في رؤية الأرباب. فمن هم هؤلاء الأرباب؟ فإذا كان المقصود بهؤلاء أنهم الأرباب الذين أوجبت عليهم شريعتهم وناموسهم عبادتهم، وأعني بهم الثور، والجدي، والتماسيح، ومن لهم رؤوس الكلاب، فقد رآهم بالفعل رأي العين. أما إذا كان المقصود بهم آلهة السماوات فكيف كان في وسعه رؤيتهم؟

٢٥٥- ثم لماذا استولت عليه تلك الرغبة العارمة؟ هل لأن ملكاً آخر[١٨٣] حكم قبله- أجل وحق زيوس[١٨٤] - كان قد رآهم رأي العين؟ لو صح هذا حقا لعرف إذن منْ هذا (الملك) الصورة التي هم عليها، والطريقة التي تمكن بها هذا من رؤيتهم، وبالتالي فلم تكن هناك ضرورة (تفرض) عليه (البحث عن) وسيلة جديدة.

٢٥٦- ثم إن العراف الذي لجأ إليه الملك لتحقيق هذه (الأمنية) كان رجلاً حكيماً، فلماذا أخفق إذن في أن يدرك استحالة (تحقيق) هذه الرغبة؟ ذلك أنها لم تتحقق بالفعل. وعلي أي أساس منطقي تصبح رؤية الأرباب مستعصية أو متوقفة علي وجود المشوهين والمصابين بالجذام (أو عدم وجودهم)؟ الحق أن (الأرباب) يغضبون من انعدام الورع والتقوى، أما التشوهات الخلقية فلا يمكن أن تثير حفيظتهم.

περιφανῶς ἐπιδείξω, προϋιαστειλάμενος ἐκεῖνο τῶν ὕστερον πρὸς ἄλλους[1] λεχθησομένων ἕνεκα. δέδωκε γὰρ οὗτος ἡμῖν καὶ ὡμολόγηκεν ἐξ ἀρχῆς τὸ[2] μὴ εἶναι τὸ γένος Αἰγυπτίους, ἀλλ' αὐτοὺς ἔξωθεν ἐπελθόντας κρατῆσαι τῆς Αἰγύπτου καὶ πάλιν ἐξ
253 αὐτῆς ἀπελθεῖν. ὅτι δ' οὐκ ἀνεμίχθησαν ἡμῖν ὕστερον τῶν Αἰγυπτίων οἱ τὰ σώματα λελωβημένοι, καὶ ὅτι ἐκ τούτων οὐκ ἦν Μωυσῆς ὁ τὸν λαὸν ἀγαγών, ἀλλὰ πολλαῖς ἐγεγόνει γενεαῖς πρότερον, ταῦτα πειράσομαι διὰ τῶν ὑπ' αὐτοῦ λεγομένων ἐλέγχειν.

254 (28) Πρώτην δὴ τὴν αἰτίαν τοῦ πλάσματος ὑποτίθεται καταγέλαστον. ὁ βασιλεὺς γάρ, φησιν, Ἀμένωφις ἐπεθύμησε τοὺς θεοὺς ἰδεῖν. ποίους; εἰ μὲν τοὺς παρ' αὐτοῖς νενομοθετημένους, τὸν βοῦν καὶ τράγον καὶ κροκοδείλους καὶ κυνοκεφά-
255 λους, ἑώρα. τοὺς οὐρανίους δὲ πῶς ἐδύνατο; καὶ διὰ τί ταύτην ἔσχε τὴν ἐπιθυμίαν; ὅτι νὴ Δία καὶ πρότερος αὐτοῦ βασιλεὺς ἄλλος ἑωράκει. παρ' ἐκείνου τοίνυν ἐπέπυστο ποταποί τινές εἰσι καὶ τίνα τρόπον αὐτοὺς εἶδεν, ὥστε καινῆς αὐτῷ
256 τέχνης οὐκ ἔδει. ἀλλὰ σοφὸς ἦν ὁ μάντις δι' οὗ τοῦτο κατορθώσειν ὁ βασιλεὺς ὑπελάμβανε. καὶ πῶς οὐ προέγνω τὸ ἀδύνατον αὐτοῦ τῆς ἐπιθυμίας; οὐ γὰρ ἀπέβη. τίνα δὲ καὶ λόγον εἶχε διὰ τοὺς ἠκρωτηριασμένους ἢ λεπρῶντας ἀφανεῖς εἶναι τοὺς θεούς; ὀργίζονται γὰρ ἐπὶ τοῖς ἀσεβήμασιν,
257 οὐκ ἐπὶ τοῖς ἐλαττώμασι τῶν σωμάτων. ὀκτὼ

[1] Niese: ἀλλήλους L. [2] Niese: τε L.

٢٥٧- ثم كيف تسني له جمع ٨٠,٠٠٠ مريض ما بين مشوه ومصاب بالجذام في غضون يوم واحد فقط تقريباً؟ ثم لماذا أقدم الملك علي عصيان نبوءة العراف؟ ذلك أن (العراف) كان قد طلب منه أن يقوم بنفي المشوهين عن أرض مصر، غير أن (الملك) أرسل بهم بدلاً من ذلك إلى المحاجر، وكأنه شخص يحتاج إلى عمال (يشتغلون)، وليس كمن وطد العزم على تطهير البلاد ودفع الرجس عنها.

٢٥٨- ثم إن (مانيثون) يمضي من بعد ذلك فيقول إن العراف قد انتحر لأنه أيقن (من واقع مهنته) أن غضب الأرباب (واقع لا محالة)، وأن (النكبات) سوف تحل بأرض مصر، وترك للملك رسالة مدونة بفحوى نبوءته.

٢٥٩- فكيف إذن عجز هذا العراف منذ البدء (لو أننا سلمنا بصدقه) عن التنبؤ بأنه لا محالة هالك؟ ولماذا لم يعارض في التو مليكه، أو يقف في وجه رغبته، حينما تاقت نفسه لرؤية الأرباب؟ ترى هل كان الخوف من حلول نكبات لن يقدر لها أن تقع في أثناء حياته خوفاً منطقياً؟ أم هل كانت هناك (كارثة) أسوأ يمكن له أن يكابدها، من أن يسعى إلى حتفه بظلفه ويزهق روحه بيده؟

٢٦٠- وحري بنا الآن أن نتمعن في أكثر الأمور جميعاً سذاجة وحمقاً: فرغم أن هذا (الملك) قد أحاط علماً بوقوع هذه الأمور، ورغم أن الذعر قد انتابه خوفاً مما سيسفر عنه المستقبل من أحداث، إلا أنه لم يقم بطرد هؤلاء المشوهين من البلاد آنذاك، بناء علي التحذير الذي تلقاه بصدد تطهير أرض مصر منهم، بل إنه (بدلاً من ذلك) منحهم - بناء علي طلبهم - مدينة تسمي أواريس، كانت فيما مضي - وفقاً لما ذكره (مانيثون) - موطناً للرعاة.

٢٦١- ثم استطرد قائلاً إنهم جمعوا شتاتهم في هذه (المدينة)، واتخذوا واحداً من الذين سبق لهم أن تولوا منصب الكهانة في مدينة هليوبوليس زعيماً لهم، وإن هذا (الزعيم) قد زودهم بتعاليم تقضي بعدم عبادة أرباب المصريين وبعدم الامتناع عن (تناول لحوم) الحيوانات التي كانت مقدسة في مصر، وعلاوة على ذلك فقد أحلت لهم (هذه التعاليم) سفك دمائها وأكل لحومها، كما حظرت عليهم عقد أي تحالف مع كائن من كان، سوى مع من أبرم معهم عهوداً ومواثيقاً.

δὲ μυριάδας τῶν λεπρῶν καὶ κακῶς διακειμένων πῶς οἷόν τε μιᾷ σχεδὸν ἡμέρᾳ συλλεγῆναι; πῶς δὲ παρήκουσεν τοῦ μάντεως ὁ βασιλεύς; ὁ μὲν γὰρ αὐτὸν ἐκέλευσεν ἐξορίσαι τῆς Αἰγύπτου τοὺς λελωβημένους, ὁ δ' αὐτοὺς εἰς τὰς λιθοτομίας ἐνέβαλεν, ὥσπερ τῶν ἐργασομένων δεόμενος, ἀλλ'
258 οὐχὶ καθᾶραι τὴν χώραν προαιρούμενος. φησὶ δὲ τὸν μὲν μάντιν αὐτὸν ἀνελεῖν τὴν ὀργὴν τῶν θεῶν προορώμενον καὶ τὰ συμβησόμενα περὶ τὴν Αἴγυπτον, τῷ δὲ βασιλεῖ γεγραμμένην τὴν πρόρ-
259 ρησιν[1] καταλιπεῖν. εἶτα πῶς οὐκ ἐξ ἀρχῆς ὁ μάντις τὸν αὑτοῦ θάνατον προηπίστατο; πῶς δὲ οὐκ εὐθὺς ἀντεῖπεν τῷ βασιλεῖ βουλομένῳ τοὺς θεοὺς ἰδεῖν; πῶς δ' εὔλογος ὁ φόβος τῶν μὴ παρ' αὐτὸν συμβησομένων κακῶν; ἢ τί χεῖρον ἔδει παθεῖν οὗ δρᾶν[2] ἑαυτὸν ἔσπευδεν;
260 Τὸ δὲ δὴ πάντων εὐηθέστατον ἴδωμεν. πυθόμενος γὰρ ταῦτα καὶ περὶ τῶν μελλόντων φοβηθεὶς τοὺς λελωβημένους ἐκείνους, ὧν αὐτῷ καθαρεῦσαι προείρητο τὴν Αἴγυπτον, οὐδὲ τότε τῆς χώρας ἐξήλασεν, ἀλλὰ δεηθεῖσιν αὐτοῖς ἔδωκε πόλιν, ὥς φησι, τὴν πάλαι μὲν οἰκηθεῖσαν ὑπὸ τῶν ποιμένων,
261 Αὔαριν δὲ καλουμένην. εἰς ἣν ἀθροισθέντας αὐτοὺς ἡγεμόνα φησὶν ἐξελέσθαι τῶν ἐξ Ἡλιουπόλεως πάλαι γεγονότων ἱερέων, καὶ τοῦτον αὐτοῖς εἰσηγήσασθαι μήτε θεοὺς προσκυνεῖν μήτε τῶν ἐν[3] Αἰγύπτῳ θρησκευομένων ζῴων ἀπέχεσθαι, πάντα δὲ θύειν καὶ κατεσθίειν, συνάπτεσθαι δὲ μηδενὶ πλὴν τῶν συνωμοσμένων, ὅρκοις τε τὸ πλῆθος ἐνδησάμενον, ἢ μὴν τούτοις ἐμμενεῖν τοῖς νόμοις,

[1] *ed. pr.*: πρόσρησιν L.
[2] οὗ δρᾶν Herwerden: οὐδ' ἂν L. [3] Niese: ἐπ' L.

ثم إنه بعد أن أخضع الحشود (من أتباعه) لقسم عظيم، يقضي عليهم بالانصياع حتماً لهذه القوانين والحفاظ عليها، شرع في تحصين (أسوار مدينة) **أواريس** وأعلن الحرب علي الملك.

٢٦٢- ويضيف **مانيثون** قائلاً إن (زعيمهم هذا) أرسل إلى مدينة **أورشليم** يلتمس من مواطنيها أن يعقدوا معه تحالفاً عسكرياً، ووعدهم بأنه سوف يمنحهم مدينة **أواريس** (في المقابل)، بوصفها كانت فيما سبق مقراً **لأسلافهم** الذين ارتحلوا عن **أورشليم**، وبزعم أنها سوف تغدو نقطة انطلاق لهم يسيطرون منها علي كافة أرجاء مصر.

٢٦٣- وبناء علي ذلك - كما يقول- فإن هؤلاء (قد حشدوا) جيشاً قوامه مائتي ألف جندي وأعدوه للهجوم، غير أن **أمينوفيس**، ملك المصريين، الذي تصور أنه لا ينبغي له أن يحارب الأرباب، لاذ بالفرار من فوره إلى إثيوبيا، بعد أن عهد (بالعجل) **أبيس** وبعدد من الحيوانات المقدسة الأخرى إلى الكهنة وأصدر إليهم أوامره بحراستها.

٢٦٤- ثم شرع أهل أورشليم - من بعد ذلك - في شن هجومهم علي (مصر)، فدمروا المدن وأضرموا النار في المعابد، وذبحوا الكهنة (كما تذبح الشياه)، وبالإجمال فإنهم لم يعفوا أنفسهم من الانغماس في أية جريمة، أو في أي مظهر من مظاهر القسوة والهمجية.

٢٦٥- ثم يستطرد **مانيثون** قائلاً إن الكاهن الذي وضع لهؤلاء القوم دستورهم وقوانينهم، كان مواطناً من مدينة هليوبوليس، وأنه كان يدعي **أوزارسيف** علي اسم الإله **أوزيريس**، الرب المعبود في مدينة هليوبوليس، وأنه غير اسمه بعد ذلك إلى **موسى**.

٢٦٦- ويستمر **مانيثون** في سرد روايته بقوله إنه بعد انقضاء ثلاث عشرة سنة- وهي المدة التي كان مقدراً **لأمينوفيس** أن يمضيها في المنفي- انطلق (الملك) من إثيوبيا بجيش كبير عرمرم، وشن الهجوم علي الرعاة، والتحم في حرب معهم ومع (حلفائهم) من المشوهين المدنسين، وهزمهم شر هزيمة في ميدان القتال، وذبح عدداً كبيراً منهم، ثم طارد ما تبقي من فلولهم وشراذمهم حتى حدود سوريا.

الفصل التاسع والعشرون

٢٦٧- وعلي أية حال فإن (**مانيثون** يبدو في هذه النقطة) غير مدرك أن ما يختلقه ويزيفه بعيد عن المعقولية: فلو أن المصابين بمرض الجذام ومن كان في زمرتهم من حشود مماثلة لهم، كانوا قد استشاطوا من قبل غضباً من الملك، ومن أفراد حاشيته المقربين إليه، لأنهم ارتكبوا في حقهم هذه (الفعلة الشنعاء) بناء على نبوءة العراف، فإنه كان الأحرى بهم - عندما تم نقلهم من المحاجر ومنحهم مدينة من قبل (الملك) يعيشون فيها وأرضاً تأويهم- أن تصبح مشاعرهم تجاهه أقل حدة وأخف عداء بكل تأكيد.

καὶ τειχίσαντα τὴν Αὔαριν πρὸς τὸν βασιλέα
262 πόλεμον ἐξενεγκεῖν. καὶ προστίθησιν ὅτι ἔπεμψεν
εἰς Ἱεροσόλυμα παρακαλῶν ἐκείνους αὐτοῖς συμ-
μαχεῖν καὶ δώσειν αὐτοῖς τὴν Αὔαριν ὑπισχνού-
μενος, εἶναι γὰρ αὐτὴν τοῖς ἐκ τῶν Ἱεροσολύμων
ἀφιξομένοις προγονικήν, ἀφ' ἧς ὁρμωμένους αὐτοὺς
263 πᾶσαν τὴν Αἴγυπτον καθέξειν. εἶτα τοὺς μὲν
ἐπελθεῖν εἴκοσι στρατοῦ μυριάσι λέγει, τὸν βασιλέα
δὲ τῶν Αἰγυπτίων Ἀμένωφιν οὐκ οἰόμενον δεῖν
θεομαχεῖν εἰς τὴν Αἰθιοπίαν εὐθὺς ἀποδρᾶναι, τὸν
δὲ Ἆπιν καί τινα τῶν ἄλλων ἱερῶν ζῴων παρα-
τεθεικέναι τοῖς ἱερεῦσι διαφυλάττεσθαι κελεύσαντα.
264 εἶτα τοὺς Ἱεροσολυμίτας ἐπελθόντας τάς τε πόλεις
ἀνιστάναι καὶ τὰ ἱερὰ κατακαίειν καὶ τοὺς ἱερέας[1]
ἀποσφάττειν, ὅλως τε μηδεμιᾶς ἀπέχεσθαι παρα-
265 νομίας μηδὲ ὠμότητος. ὁ δὲ τὴν πολιτείαν καὶ
τοὺς νόμους αὐτοῖς καταβαλόμενος[2] ἱερεύς, φησίν,
ἦν τὸ γένος Ἡλιοπολίτης, ὄνομα δ' Ὀσαρσὶφ
ἀπὸ τοῦ ἐν Ἡλιουπόλει θεοῦ Ὀσίρεως, μεταθέμενος
266 δὲ Μωυσῆν αὐτὸν προσηγόρευσε. τρισκαιδεκάτῳ
δέ φησιν ἔτει τὸν Ἀμένωφιν, τοσοῦτον γὰρ αὐτῷ
χρόνον εἶναι τῆς ἐκπτώσεως πεπρωμένον, ἐξ
Αἰθιοπίας ἐπελθόντα μετὰ πολλῆς στρατιᾶς καὶ
συμβαλόντα τοῖς ποιμέσι καὶ τοῖς μιαροῖς νικῆσαί
τε τῇ μάχῃ καὶ κτεῖναι πολλοὺς ἐπιδιώξαντα
μέχρι τῶν τῆς Συρίας ὅρων.
267 (29) Ἐν τούτοις πάλιν οὐ συνίησιν ἀπιθάνως ψευ-
δόμενος. οἱ γὰρ λεπροὶ καὶ τὸ μετ' αὐτῶν πλῆθος,
εἰ καὶ πρότερον ὠργίζοντο τῷ βασιλεῖ καὶ τοῖς
τὰ περὶ αὐτοὺς πεποιηκόσι κατὰ [τε][3] τὴν τοῦ
μάντεως προαγόρευσιν, ἀλλ' ὅτε τῶν λιθοτομιῶν

[1] Bekker: ἱππέας L Lat.

٢٦٨- وحتى لو افترضنا أنهم ما زالوا بالفعل يكنون له المقت والكراهية، فما كان لهم أن يدبروا مؤامرتهم هذه إلا ضده وحده دون سواه، بغير أن يعلنوا الحرب على جميع (أفراد) أمتهم دون استثناء؛ ذلك أن من الواضح أنه كان لهم من بينهم كثيراً من الأقارب والأنساب بحكم كثرة عددهم وغزارة حشودهم.

٢٦٩- فإذا ما سلمنا جدلاً بأنهم قرروا شن الحرب علي البشر من بني جلدتهم كافة، فإنه ما كان ينبغي لهم أن يجسروا علي محاربة أربابهم، أو علي سن القوانين التي تناهض شريعة آبائهم وأجدادهم التي تربَّوا وفقا لها ونشأوا عليها.

٢٧٠- وأياً كان الأمر فإنه ينبغي لنا أن نشعر بالامتنان لمانيثون لأنه (على الأقل) ذكر صراحة أن هذه الانتهاك الصارخ (للقوانين والأعراف)، لم يتم علي يد القادمين من أورشليم بل على يد المصريين أنفسهم، وأن كهنتهم بوجه خاص هم الذين تفتق ذهنهم عن تدبير هذه الأمور، وأنهم هم الذين أعدوا صيغة القسم للجماهير.

٢٧١- وعلي أية حال، فإن هذا الأمر يبدو بعيداً تماماً عن المعقولية: فطالما أنه لم يكن هناك شخص من ذوي قرباهم، أو من أصدقائهم ضالعاً في هذه الثورة أو مستهدفاً لأخطار الحرب، فلماذا أرسل هؤلاء المدنسون (المشوهون) إلى أورشليم طالبين منها عقد التحالف؟

٢٧٢- فما هي إذن طبيعة تلك الصداقة؟ وما هي الصلة التي كانت تجمع بينهم سلفاً؟ الحق إن الأمر علي العكس من ذلك تماماً: فهؤلاء القوم كانوا أعداء لهم، كما كانت عاداتهم تقف علي طرفي نقيض وتختلف تماماً عن تقاليدهم. غير أن (مانيثون) يقول إن هؤلاء (الرعاة) قد لبّوا في الحال ما وعدوا به من احتلال مصر، كما لو كانوا عديمي الخبرة تماماً بتلك البلاد التي طردوا منها من قبل بكل عنف وقسوة!.

٢٧٣- فلو أننا سلمنا جدلاً بأنهم كانوا بلا موارد، أو أنهم كانوا يعانون من شظف العيش، فلربما جاز لهم أن يقدموا علي هذه المخاطرة، ولكن حيث إنهم كانوا يقطنون مدينةً يأتيها رزقها رغداً، وأرضاً ممتدة تنتج من الثمار والخيرات ما يفوق أرض مصر، فأي سبب إذن يمكن أن يدفعهم لمد يد العون

ἐξῆλθον καὶ πόλιν παρ' αὐτοῦ καὶ χώραν ἔλαβον, πάντως[1] ἂν γεγόνεισαν πρᾳότεροι πρὸς αὐτόν.
268 εἰ δὲ δὴ[2] κἀκεῖνον ἐμίσουν, ἰδίᾳ μὲν ἂν αὐτῷ[3] ἐπεβούλευον, οὐκ ἂν δὲ πρὸς ἅπαντας ἤραντο πόλεμον, δῆλον ὅτι πλείστας ἔχοντες συγγενείας
269 τοσοῦτοί γε τὸ πλῆθος ὄντες. ὅμως δὲ καὶ τοῖς ἀνθρώποις πολεμεῖν διεγνωκότες οὐκ ἂν εἰς τοὺς αὐτῶν θεοὺς πολεμεῖν ἐτόλμησαν οὐδ' ὑπεναντιωτάτους ἔθεντο νόμους τοῖς πατρίοις αὐτῶν καὶ
270 οἷς ἐνετράφησαν. δεῖ δὲ ἡμᾶς τῷ Μανέθῳ[4] χάριν ἔχειν, ὅτι ταύτης τῆς παρανομίας οὐχὶ τοὺς ἐξ Ἱεροσολύμων ἐλθόντας ἀρχηγοὺς γενέσθαι φησίν, ἀλλ' αὐτοὺς ἐκείνους ὄντας Αἰγυπτίους καὶ τούτων μάλιστα τοὺς ἱερέας ἐπινοῆσαί τε ταῦτα καὶ ὁρκωμοτῆσαι τὸ πλῆθος.
271 Ἐκεῖνο μέντοι πῶς οὐκ ἄλογον, τῶν μὲν οἰκείων αὐτοῖς καὶ τῶν φίλων συναποστῆναι[5] οὐδένα μηδὲ τοῦ πολέμου τὸν κίνδυνον συνάρασθαι, πέμψαι δὲ τοὺς μιαροὺς εἰς Ἱεροσόλυμα καὶ τὴν παρ' ἐκείνων
272 ἐπάγεσθαι συμμαχίαν; — ποίας αὐτοῖς φιλίας ἢ τίνος αὐτοῖς οἰκειότητος προϋπηργμένης; τοὐναντίον γὰρ ἦσαν πολέμιοι καὶ τοῖς ἔθεσι[6] πλεῖστον διέφερον. ὁ δέ φησιν εὐθὺς ὑπακοῦσαι τοῖς ὑπισχνουμένοις ὅτι τὴν Αἴγυπτον καθέξουσιν, ὥσπερ αὐτῶν οὐ σφόδρα τῆς χώρας ἐμπείρως ἐχόντων,
273 ἧς βιασθέντες ἐκπεπτώκασιν. εἰ μὲν οὖν ἀπόρως ἢ κακῶς ἔπραττον, ἴσως ἂν καὶ παρεβάλλοντο, πόλιν δὲ κατοικοῦντες εὐδαίμονα καὶ χώραν

[1] *ed. pr.*: πάντες L Lat. [2] εἰ δ' ἔτι Lat. (apparently).
[3] ἂν αὐτῷ *ed. pr.*: ἄνω L. [4] Μανεθῶνι L.
[5] Bekker: συναποστῆσαι L.
[6] Hudson (Lat. *moribus*): ἤθεσι L.

وتعريض حياتهم للخطر، في سبيل قوم كانوا فيما مضي أعداء لهم، ومن أجل أناس ذوي أجساد مشوهة ليس بوسع أحد - حتى من بين جلدتهم - أن يطيق العيش معهم؟ فما كان لهم أن يتنبأوا حقاً آنذاك بأن الملك (المصري) سوف يلوذ بالفرار!.

٢٧٤- ذلك أن ما حدث جاء علي العكس من ذلك تماماً، فلقد أخبرنا **(مانيثون)** نفسه بأن ابن (الملك) **أمينوفيس**[١٨٥] قد اتجه علي رأس ثلاثمائة ألف (جندي) صوب **بيلوسيون** لملاقاتهم. وبطبيعة الحال فقد كان القادمون (لغزو مصر من الرعاة) يعلمون ذلك حق العلم، فأنى لهم حقا أن ينساقوا إلى الظن بأنه كان مقدماً على تغيير رأيه والجنوح إلى الهرب؟

٢٧٥- ثم يستطرد **(مانيثون)** قائلاً أن أهل **أورشليم** - بعد أن شنوا هجومهم علي مصر، واستولوا علي أرضها - أقدموا علي اقتراف كثير من الجرائم الرهيبة. ومن ثم فإنه يلومهم علي اقتراف (هذه الجرائم)، كما لو أنه لم يقدمهم لنا ابتداء بوصفهم أعداء (لمصر)! أو كما لو كان من الواجب أن يحاكموا ويوضعوا في قفص الاتهام لمجرد أنه قد تم استدعاؤهم من خارج البلاد! مع أن المصريين سلالة وعرقاً هم الذين دأبوا علي اقتراف هذه (الجرائم) من قبل وصول أولئك (الرعاة)، وهم الذين أقسموا علي الاستمرار في اقترافها.

٢٧٦- غير أن **أمينوفيس** - بعد انصرام حقبة من الزمن - شن عليهم الهجوم وهزمهم في المعركة، وقتل (الكثير) من أعدائه، ثم طارد (فلولهم) حتى (حدود) سوريا. وكأن مصر كانت (آنذاك) لقمة سائغة، (أو مرتعاً يسهل اختراقه)، والاستيلاء عليه من قبل الغزاة القادمين من كل صوب وحدب!.

٢٧٧- أو كأن هؤلاء **(الرعاة)** الذين احتلوا (مصر وهزموها) في ميدان القتال- رغم علمهم بأن **أمينوفيس** ما زال علي قيد الحياة - قد فاتهم أن يتكبدوا عناء تحصين الممرات المؤدية (إلى مصر) من **إثيوبيا** - رغم ما كان متوافراً لديهم لهذا الغرض من عتاد وموارد كثيرة - أو أن يشغلوا أنفسهم بإعداد باقي قواتهم العسكرية وتجهيزها! ثم يمضي **(مانيثون)** فيذكر أن **أمينوفيس** قد طارد (فلولهم) حتى (حدود) سوريا، وأنه أعمل فيهم القتل والتذبيح خلال مروره عبر الصحراء الجرداء التي (لا زرع فيها) ولا ماء. ومن الجلي تماماً أن عبور (الصحراء) علي رأس جيش (كبير بهذا الحجم) ليس بالأمر الهين، حتى دون الاشتباك في حرب أو خوض قتال.

πολλὴν κρείττω τῆς Αἰγύπτου καρπούμενοι, διὰ τί ποτ' ἂν ἐχθροῖς μὲν πάλαι τὰ δὲ σώματα λελωβημένοις, οὓς μηδὲ τῶν οἰκείων οὐδεὶς ὑπέμενε, τούτοις ἔμελλον παρακινδυνεύσειν βοηθοῦντες; οὐ γὰρ δή γε τὸν γενησόμενον προῄδεσαν δρασμὸν
274 τοῦ βασιλέως· τοὐναντίον γὰρ αὐτὸς εἴρηκεν ὡς ὁ παῖς τοῦ Ἀμενώφιος τριάκοντα μυριάδας ἔχων εἰς τὸ Πηλούσιον ὑπηντίαζεν. καὶ τοῦτο μὲν ᾔδεισαν πάντως οἱ παραγινόμενοι, τὴν δὲ μετάνοιαν αὐτοῦ καὶ τὴν φυγὴν πόθεν εἰκάζειν ἔμελλον;
275 ἔπειτα[1] κρατήσαντάς φησι τῆς Αἰγύπτου πολλὰ καὶ δεινὰ δρᾶν τοὺς ἐκ τῶν Ἱεροσολύμων ἐπιστρατεύσαντας, καὶ περὶ τούτων ὀνειδίζει καθάπερ οὐ πολεμίους αὐτοῖς ἐπαγαγὼν ἢ δέον τοῖς ἔξωθεν ἐπικληθεῖσιν ἐγκαλεῖν, ὁπότε ταῦτα πρὸ τῆς ἐκείνων ἀφίξεως ἔπραττον καὶ πράξειν ὠμωμόκεσαν οἱ τὸ γένος Αἰγύπτιοι. ἀλλὰ καὶ χρόνοις
276 ὕστερον Ἀμένωφις ἐπελθὼν ἐνίκησε μάχῃ καὶ κτείνων τοὺς πολεμίους μέχρι τῆς Συρίας ἤλασεν. οὕτω γὰρ παντάπασίν ἐστιν ἡ Αἴγυπτος τοῖς
277 ὁποθενδηποτοῦν ἐπιοῦσιν εὐάλωτος. καί<τοι>[2] οἱ τότε πολέμῳ κρατοῦντες αὐτήν, ζῆν πυνθανόμενοι τὸν Ἀμένωφιν, οὔτε τὰς ἐκ τῆς Αἰθιοπίας ἐμβολὰς ὠχύρωσαν, πολλὴν εἰς τοῦτο παρασκευὴν ἔχοντες, οὔτε τὴν ἄλλην ἡτοίμασαν δύναμιν. ὁ δὲ καὶ μέχρι τῆς Συρίας ἀναιρῶν, φησίν, αὐτοὺς ἠκολούθησε διὰ τῆς ψάμμου τῆς ἀνύδρου, δῆλον ὅτι οὐ ῥᾴδιον οὐδὲ ἁμαχεὶ στρατοπέδῳ διελθεῖν.

[1] ἔπειτα (after Lat.) Hudson : τὰ σιτία L.
[2] καίτοι conj. : καὶ L.

الفصل الثلاثون

٢٧٨- وبناء علي ذلك - وفقا لرواية مانيثون - فإن (من الجلي) أن أرومتنا لم تكن لتمت بصلة لمصر[١٨٦]، وأنه لم تكن هناك فرصة لاختلاطها أو امتزاجها مع أجناس أخرى في تلك البقعة. وذلك لأنه من المرجح أن كثيراً من المصابين بمرض الجذام ومن المرضي (المشوهين) قد قضوا نحبهم، بسبب عملهم الشاق لسنوات طويلة في المحاجر، وبسبب المعاملة الفظة التي لاقوها آنذاك، وأن كثيراً منهم قد أزهقت أرواحهم في الحروب التي دارت رحاها بعد ذلك، وأن الغالبية العظمي منهم قد لاقت منيتها في المعركة الأخيرة الفاصلة، وفي أثناء الفرار (من وطيس المعركة)[١٨٧].

الفصل الحادي الثلاثون

٢٧٩- وتبقي لي (في النهاية) كلمة عن موسي (عليه السلام) أود أن أقولها (لمانيثون)، مؤداها أن المصريين يعتقدون أن هذا الرجل مدعاة للمباهاة والإعجاب وأن (شخصه) مقدس، ولذا فهم يريدون أن ينسبونه إلي أنفسهم، (حتى ولو كان ذلك) عن طريق التجديف والافتراءات البعيدة عن المنطق. فهم يزعمون أنه واحد من كهنة هليوبوليس الذين تم طردهم منها بسبب إصابته بمرض الجذام.

٢٨٠- غير أنه يتضح من السجلات المدونة أنه (أي موسي عليه السلام) عاش قبل تلك الفترة بمدة خمسمائة وثمانية عشر عاماً[١٨٨]، وأنه قاد أسلافنا (الأوائل) من مصر إلى البلاد التي نقطن فيها الآن.

٢٨١- ويتضح لنا كذلك أنه لم يكابد أي داء عضال مثل هذا في جسده، وفقاً لما صرح به هو نفسه. ففي الحق أنه قد حرم على المصابين بمرض الجذام العيش في المدينة أو السكنى في القرية، بل فرض عليهم التجوال وحدهم بملابسهم الممزقة؛ كما اعتبر أن من يلامسهم أو يعيش معهم تحت سقف واحد شخصاً دنساً غير طاهر.

٢٨٢- وعلاوة على هذا- فحتى لو تم شفاء المريض من هذا الداء (الوبيل)، وعاد لطبيعته السوية- فإن (موسي عليه السلام) كان يفرض عليه أداء طقوس معينة للتطهير، منها أن ينظف نفسه عن طريق الاغتسال بمياه الينابيع الجارية، ومنها قص شعره بأسره. كما كان يأمره بتقديم القرابين من كل نوع وصنف، قبل أن يدخل إلى رحاب المدينة المقدسة[١٨٩].

278 (30) Κατὰ μὲν οὖν τὸν Μανέθων οὔτε ἐκ τῆς Αἰγύπτου τὸ γένος ἡμῶν ἐστιν οὔτε τῶν ἐκεῖθέν τινες ἀνεμίχθησαν· τῶν γὰρ λεπρῶν καὶ νοσούντων πολλοὺς μὲν εἰκὸς ἐν ταῖς λιθοτομίαις ἀποθανεῖν πολὺν χρόνον ἐκεῖ γενομένους καὶ κακοπαθοῦντας, πολλοὺς δ' ἐν ταῖς μετὰ ταῦτα μάχαις, πλείστους δ' ἐν τῇ τελευταίᾳ καὶ τῇ φυγῇ.

279 (31) Λοιπόν μοι πρὸς αὐτὸν εἰπεῖν περὶ Μωυσέως. τοῦτον δὲ τὸν ἄνδρα θαυμαστὸν μὲν Αἰγύπτιοι καὶ θεῖον νομίζουσι, βούλονται δὲ προσποιεῖν αὑτοῖς μετὰ βλασφημίας ἀπιθάνου, λέγοντες Ἡλιοπολίτην εἶναι τῶν ἐκεῖθεν ἱερέων ἕνα διὰ τὴν
280 λέπραν συνεξεληλασμένον. δείκνυται δ' ἐν ταῖς ἀναγραφαῖς ὀκτωκαίδεκα σὺν τοῖς πεντακοσίοις πρότερον ἔτεσι γεγονὼς καὶ τοὺς ἡμετέρους ἐξαγαγὼν ἐκ τῆς Αἰγύπτου πατέρας εἰς τὴν
281 χώραν τὴν νῦν οἰκουμένην ὑφ' ἡμῶν. ὅτι δ' οὐδὲ συμφορᾷ τινι τοιαύτῃ περὶ τὸ σῶμα κεχρημένος ἦν, ἐκ τῶν λεγομένων ὑπ' αὐτοῦ δῆλός ἐστι. τοῖς γὰρ λεπρῶσιν ἀπείρηκε μήτε μένειν ἐν πόλει μήτ' ἐν κώμῃ κατοικεῖν, ἀλλὰ μόνους περιπατεῖν κατεσχισμένους τὰ ἱμάτια, καὶ τὸν ἁψάμενον αὐτῶν
282 ἢ ὁμωρόφιον γενόμενον οὐ καθαρὸν ἡγεῖται. καὶ μὴν κἂν θεραπευθῇ τὸ νόσημα καὶ τὴν αὐτοῦ φύσιν ἀπολάβῃ, προείρηκέν τινας ἁγνείας,[1] καθαρμοὺς πηγαίων ὑδάτων λουτροῖς καὶ ξυρήσεις πάσης τῆς τριχός, πολλάς τε κελεύει καὶ παντοίας ἐπιτελέσαντα θυσίας τότε παρελθεῖν εἰς τὴν
283 ἱερὰν πόλιν. καίτοι[2] τοὐναντίον εἰκὸς ἦν προνοίᾳ

[1] + καὶ Lat. [2] *ed. pr.*: καὶ L.

٢٨٣- ومع ذلك، فإن الاحتمال (الأقرب للصواب) هو أن من كابد هذه المعاناة أو حلت به هذه المصيبة، كان الأحرى به- علي العكس مما حدث - أن يبدي الرحمة وأن يشعر بالتعاطف الإنساني والإخاء، تجاه من قست عليهم الأقدار، أو أخنى عليهم الدهر مثله بنفس المقدار.

٢٨٤- ولم تكن تشريعات (موسي عليه السلام) تقتصر (في هذا المضمار) علي المصابين بمرض الجذام وحدهم، بل كانت تمتد لتشمل كل من لديهم أدني تشوه في أجسامهم، (وكان هذا كفيلاً) بحرمانهم من ممارسة الكهانة. وحتى لو أصيب الحبر أثناء ممارسته للكهانة بمثل هذا الداء (الوبيل)، فإنه كان يحرم تواً من شرف (الاستمرار في هذه المهنة)[١٩٠].

٢٨٥- فهل كان من المنطقي إذن أن تدفعه الحماقة إلى إصدار مثل هذه التشريعات؟ وهل كان من المنطقي أيضا أن تصل البلاهة بقوم جمعت بينهم كل هذه المصائب وأمثالها، إلى الإقدام علي جلب العار والشنار والظلم على أنفسهم عن طريق سن هذه القوانين؟

٢٨٦- ولقد بقيت حقاً (نقطة أخرى) تتعلق بتحريف الاسم، وهو الأمر الذي يبدو بعيداً تماماً عن الإقناع: (فمانيثون) يقول إنه (أي موسي عليه السلام) كان يسمي أوزارسيف. وهذا الاسم الأخير لا يتناسب مع ما جري من تحوير لصورته، لأن الاسم الحقيقي وهو موسي يعني: "الناجي من المياه"؛ ذلك أن المصريين يطلقون علي الماء في لغتهم "مو"[١٩١].

٢٨٧- وإنني أعتقد (بعد كل ما قلته) أن الأمر قد غدا واضحاً تماماً بما فيه الكفاية، وأن مانيثون حينما كان يتبع السجلات القديمة لم يكن يتكب الصواب أو يبتعد كثيراً عن الحقيقة. ولكنه حينما كان يعتمد على الأساطير التي لا سند لها، فإنه كان ينسج منها إما (روايات) لا تستند إلى المنطق، أو يصدق الروايات التي يقصها (مؤرخون) يدفعهم التحيز وتحركهم الأحقاد.

الفصل الثاني والثلاثون

٢٨٨- وإني لأود من بعد ذلك أن أفند أقوال (شخص آخر هو) خايريمون[١٩٢]، ذلك أنه أيضاً يصرح بأنه صاحب كتاب عن التاريخ المصري، كما يزودنا- بمثل ما فعل مانيثون - باسم الملك ذاته، وهو أمينوفيس، واسم ابنه، وهو رامبسيس.

τινὶ καὶ φιλανθρωπίᾳ χρήσασθαι τὸν ἐν τῇ συμφορᾷ ταύτῃ γεγονότα πρὸς τοὺς ὁμοίως[1] αὐτῷ
284 δυστυχήσαντας. οὐ μόνον δὲ περὶ τῶν λεπρῶν οὕτως ἐνομοθέτησεν, ἀλλ' οὐδὲ τοῖς καὶ τὸ βραχύτατόν τι τοῦ σώματος ἠκρωτηριασμένοις ἱερᾶσθαι συγκεχώρηκεν, ἀλλ' εἰ καὶ μεταξύ τις ἱερώμενος τοιαύτῃ χρήσαιτο συμφορᾷ, τὴν τιμὴν αὐτὸν
285 ἀφείλετο. πῶς οὖν εἰκὸς ἐκεῖνον[2] ταῦτα νομοθετεῖν ἀνοήτως <ἢ τοὺς>[3] ἀπὸ τοιούτων συμφορῶν συνειλεγμένους προσέσθαι[4] καθ' ἑαυτῶν εἰς ὄνειδός τε καὶ βλάβην νόμους συντιθεμένους;
286 ἀλλὰ μὴν καὶ τοὔνομα λίαν ἀπιθάνως μετατέθεικεν· Ὀσαρσὶφ[5] γάρ, φησίν, ἐκαλεῖτο. τοῦτο μὲν οὖν εἰς τὴν μετάθεσιν οὐκ ἐναρμόζει, τὸ δ' ἀληθὲς ὄνομα δηλοῖ τὸν ἐκ τοῦ ὕδατος σωθέντα [Μωσῆν].[6] τὸ γὰρ ὕδωρ οἱ Αἰγύπτιοι μῶϋ καλοῦσιν.
287 Ἱκανῶς οὖν γεγονέναι νομίζω κατάδηλον[7] ὅτι Μανέθως, ἕως μὲν ἠκολούθει ταῖς ἀρχαίαις ἀναγραφαῖς, οὐ πολὺ τῆς ἀληθείας διημάρτανεν, ἐπὶ δὲ τοὺς ἀδεσπότους μύθους τραπόμενος ἢ συνέθηκεν αὐτοὺς ἀπιθάνως ἢ τισι τῶν πρὸς ἀπέχθειαν εἰρηκότων ἐπίστευσεν.
288 (32) Μετὰ τοῦτον ἐξετάσαι βούλομαι Χαιρήμονα. καὶ γὰρ οὗτος Αἰγυπτιακὴν φάσκων ἱστορίαν συγγράφειν καὶ προσθεὶς ταὐτὸ ὄνομα τοῦ βασιλέως ὅπερ ὁ Μανέθως, Ἀμένωφιν, καὶ τὸν υἱὸν αὐτοῦ
289 Ῥαμέσσην, φησὶν ὅτι κατὰ τοὺς ὕπνους ἡ Ἶσις

[1] *ed. pr.*: ὁμοίους L Lat.
[2] ἢ ἐκεῖνον Niese.
[3] ins. Niese.
[4] Niese: προέσθαι L.
[5] Ὀαρσὴφ L.
[6] Probably a gloss.
[7] κατάδηλον Bekker: καὶ δῆλον ὃ' L.

٢٨٩- ثم يستطرد قائلاً بأن الربة **إيزيس** قد تجلت **لأمينوفيس** في الحلم، ووجهت إليه اللوم بسبب الدمار الذي لحق بمعبدها إبان فترة الحرب. كما (يقص علينا) أن الكاتب المقدس (المدعو) **فريتوباوتيس** قد أخبره بأنه لو طهر مصر من الأشخاص المدنسين، فسوف تتوقف مخاوفه التي تفزعه.

٢٩٠- وبناء علي ذلك، فقد قام (الملك) بجمع مائتين وخمسين ألفاً من المرضي (المشوهين)، ونفاهم (عن البلاد). وكان يتزعم هؤلاء اثنان من الكتبة، هما: **موسي**، **ويوسف** (عليهما السلام)، وكان الأخير **كاتباً مقدساً**[١٩٣]. وكان الاسمان اللذان منحا لهما باللغة المصرية (القديمة) هما **تيسيثين** بالنسبة **لموسي**، **وبيتيسيف** بالنسبة **ليوسف**.

٢٩١- وعندما وصل **هؤلاء** (المشوهون) إلى **بيلوسيون**، التقوا مع (حشد) يقدر عدده **بثلاثمائة وثمانين ألف شخص**، كان **أمينوفيس** قد احتجزهم هنالك، نظراً لأنه لم يكن راغباً في السماح لهم بدخول مصر. وبالتالي فقد عقد (المشوهون) **حلفاً مع هؤلاء**، وساروا جميعاً بغية شن حرب علي مصر.

٢٩٢- ولقد فر **امينوفيس إلى إثيوبيا** دون أن ينتظر شن الهجوم من جانبهم، وترك زوجته وهي ما زالت تحمل جنيناً في بطنها. ولقد لاذت هذه بأحد الكهوف لتحمي نفسها فيه، وهناك وضعت طفلاً أسمته **رامبسيس**. وما أن بلغ هذا الطفل مبلغ الرجال، حتى قام بطرد **اليهود** إلى سوريا، وكان عددهم آنذاك يبلغ حوالي عشرين ألفاً. ثم قام بعدها بإحضار والده **امينوفيس** من **إثيوبيا** (حيث كان قد فر إليها كما أسلفنا).

الفصل الثالث والثلاثون

٢٩٣- كانت هذه رواية **خايريمون**، وبناء عليها فإنني أتصور أن الافتراء والكذب واضحان (تماماً) في روايتيّ المؤرخيّن كليهما. ذلك أنه لو كانت كل رواية منهما تعتمد على الحقيقة، لأصبح من المستحيل أن يقع الاختلاف والتضارب بينهما علي هذا النحو. لكن التوافق أو التناسق مع الآخرين ليس من شيمة هؤلاء الكتاب الذين يختلقون الكذب، حيث إنهم يصوغون الأحداث ويبتدعونها وفقا لخيالهم وتصوراتهم.

ἐφάνη τῷ Ἀμενώφει, μεμφομένη αὐτὸν ὅτι τὸ ἱερὸν αὐτῆς ἐν τῷ πολέμῳ κατέσκαπται. Φριτοβαύτην[1] δὲ ἱερογραμματέα φάναι, ἐὰν τῶν τοὺς μολυσμοὺς ἐχόντων ἀνδρῶν καθάρῃ τὴν Αἴγυπτον,
290 παύσεσθαι[2] τῆς πτόας[3] αὐτόν. ἐπιλέξαντα δὲ τῶν ἐπισινῶν μυριάδας εἰκοσιπέντε ἐκβαλεῖν, ἡγεῖσθαι δ' αὐτῶν γραμματέας Μωυσῆν τε καὶ Ἰώσηπον, καὶ τοῦτον ἱερογραμματέα, Αἰγύπτια δ' αὐτοῖς ὀνόματα εἶναι τῷ μὲν Μωυσεῖ Τισιθέν,
291 τῷ δὲ Ἰωσήπῳ Πετεσήφ. τούτους δ' εἰς Πηλούσιον ἐλθεῖν καὶ ἐπιτυχεῖν μυριάσι τριακονταοκτὼ καταλελειμμέναις ὑπὸ τοῦ Ἀμενώφιος, ἃς οὐ θέλειν εἰς τὴν Αἴγυπτον διακομίζειν· οἷς[4] φιλίαν
292 συνθεμένους ἐπὶ τὴν Αἴγυπτον στρατεῦσαι. τὸν δὲ Ἀμένωφιν οὐχ ὑπομείναντα τὴν ἔφοδον αὐτῶν εἰς Αἰθιοπίαν φυγεῖν καταλιπόντα τὴν γυναῖκα ἔγκυον, ἣν κρυβομένην ἔν τισι σπηλαίοις τεκεῖν παῖδα ὄνομα Ῥαμέσσην, ὃν ἀνδρωθέντα ἐκδιῶξαι τοὺς Ἰουδαίους εἰς τὴν Συρίαν, ὄντας περὶ εἴκοσι μυριάδας, καὶ τὸν πατέρα Ἀμένωφιν ἐκ τῆς Αἰθιοπίας καταδέξασθαι.

293 (33) Καὶ ταῦτα μὲν ὁ Χαιρήμων. οἶμαι δὲ αὐτόθεν φανερὰν εἶναι ἐκ τῶν εἰρημένων τὴν ἀμφοῖν ψευδολογίαν. ἀληθείας μὲν γάρ τινος ὑποκειμένης ἀδύνατον ἦν διαφωνεῖν ἐπὶ τοσοῦτον, οἱ δὲ τὰ ψευδῆ συντιθέντες οὐχ ἑτέροις σύμφωνα γράφουσιν, ἀλλ' αὐτοῖς τὰ δόξαντα πλάττουσιν.
294 ἐκεῖνος μὲν οὖν ἐπιθυμίαν τοῦ βασιλέως ἵνα τοὺς θεοὺς ἴδῃ φησὶν ἀρχὴν γενέσθαι τῆς τῶν μιαρῶν

[1] After Lat.: Φριτιβαύτην L: Φριτιφάντην (here and in § 295) *ed. pr.*
[2] Niese: παύσασθαι L.
[3] πτοίας *ed. pr.*
[4] *ed. pr.*: εἰς L.

٢٩٤- وهكذا نجد أن (مانيثون) يزعم أن رغبة الملك في رؤية الأرباب كانت هي السبب في نفي المدنسين (والمشوهين)، أما **خايريمون** فقد اختلق من عنديّاته (قصة ظهور) الربة **إيزيس** للملك في الحلم.

٢٩٥- ويزعم (**مانيثون**) أن (العراف) **أمينوفيس** (بن **بابيس**) هو الذي اقترح علي الملك (إجراء) التطهير، بينما يزعم **خايريمون** (أن من أشار عليه بهذا) هو **فريتوباوتيس**. (ثم إن التناقض يمتد ليشمل أيضاً) عدد الحشود بحيث يصل إلى أقصى حد من التضارب، فأولهما (= **مانيثون**) يذكر أنها بلغت ثمانين ألف شخص، بينما يذكر الثاني (= **خايريمون**) أنها تقدر بمائتين وخمسين ألفاً.

٢٩٦- وعلاوة علي هذا، نجد أن **مانيثون** (في روايته) يتحدث - في مبدأ الأمر - عن نفي المدنسين إلى المحاجر، ثم يذكر بعدها أنه تم منحهم (مدينة) **أواريس** كي يعيشوا فيها، ثم يصورهم - من بعد ذلك - وهم يشنون الحرب علي باقي (بني جلدتهم) من المصريين، إلى أن يعلن أنهم بعد هذه الخطوة قد طلبوا المعونة من أهالي **أورشليم**.

٢٩٧- أما **خايريمون** (في روايته)، فيذكر أنهم وجدوا- بعد رحيلهم عن مصر ووصولهم إلى مشارف **بيلوسيون** - ثلاثمائة وثمانين ألفاً من البشر قد احتجزوا هنالك (بأمر الملك) **أمينوفيس**، وأنهم ضموهم إلى صفوفهم وغزوا معهم مصر مرة أخرى، وأن الملك **أمينوفيس** قد هرب إلى **إثيوبيا**.

٢٩٨- غير أن شر البلية[١٩٤] في حديثه يكمن حقاً في أنه لم يذكر لنا (هوية) هؤلاء القوم (المحتجزين) الذين يقدر عددهم بعشرات الألوف، أو من أين أتوا، وعما إذا كانوا مصريين دماً ولحماً، أم وافدين إلى مصر من خارج حدودها! بل إنه حتى لم يفسر لنا لماذا رفض الملك دخولهم أرض مصر! وإن كان (من الواضح بلا مراء) أنه اختلق اختلاقاً قصة حلم الربة **إيزيس** عن المصابين بمرض الجذام.

٢٩٩- كذلك اختلق **خايريمون** - ضمن ما اختلق - أن يجعل (النبي) **يوسف** (عليه السلام) معاصراً **لموسي** (عليه السلام) وزميلاً له في منفاه، رغم أن **يوسف** (عليه السلام) رحل عن دنيانا قبل **موسي** (عليه السلام) بأربعة أجيال[١٩٥]، أي بما يقرب من مائة وسبعين عاماً.

ἐκβολῆς, ὁ δὲ Χαιρήμων ἴδιον ὡς[1] τῆς Ἴσιδος
295 ἐνύπνιον συντέθεικε. κἀκεῖνος μὲν Ἀμένωφιν εἶναι
λέγει τὸν προειπόντα τῷ βασιλεῖ τὸν καθαρμόν,
οὗτος δὲ Φριτοβαύτην. ὁ δὲ δὴ τοῦ πλήθους
ἀριθμὸς καὶ σφόδρα σύνεγγυς, ὀκτὼ μὲν μυριάδας
ἐκείνου λέγοντος, τούτου δὲ πέντε πρὸς ταῖς
296 εἴκοσιν. ἔτι τοίνυν ὁ μὲν Μανέθως πρότερον εἰς
τὰς λιθοτομίας τοὺς μιαροὺς ἐκβαλών, εἶτα αὐτοῖς
τὴν Αὔαριν δοὺς ἐγκατοικεῖν καὶ τὰ πρὸς τοὺς
ἄλλους Αἰγυπτίους ἐκπολεμώσας,[2] τότε φησὶν
ἐπικαλέσασθαι τὴν παρὰ τῶν Ἱεροσολυμιτῶν αὐ-
297 τοὺς ἐπικουρίαν. ὁ δὲ Χαιρήμων ἀπαλλαττο-
μένους ἐκ τῆς Αἰγύπτου περὶ Πηλούσιον εὑρεῖν
ὀκτὼ καὶ τριάκοντα μυριάδας ἀνθρώπων κατα-
λελειμμένας ὑπὸ τοῦ Ἀμενώφιος καὶ μετ' ἐκείνων
πάλιν εἰς τὴν Αἴγυπτον ἐμβαλεῖν, φυγεῖν[3] δὲ τὸν
298 Ἀμένωφιν εἰς τὴν Αἰθιοπίαν. τὸ δὲ δὴ γενναιό-
τατον, οὐδὲ τίνες ἢ πόθεν ἦσαν αἱ τοσαῦται τοῦ
στρατοῦ μυριάδες εἴρηκεν, εἴτε Αἰγύπτιοι τὸ
γένος εἴτ' ἔξωθεν ἥκοντες, ἀλλ' οὐδὲ τὴν αἰτίαν
διεσάφησε, δι' ἣν αὐτοὺς ὁ βασιλεὺς εἰς τὴν Αἴγυπ-
τον ἀνάγειν[4] οὐκ ἠθέλησεν, ὁ περὶ τῶν λεπρῶν
299 τὸ τῆς Ἴσιδος ἐνύπνιον συμπλάσας. τῷ δὲ Μωυσεῖ
καὶ τὸν Ἰώσηπον ὁ Χαιρήμων ὡς ἐν ταὐτῷ χρόνῳ
συνεξεληλασμένον προστέθεικεν, τὸν πρὸ Μωυσέως
πρεσβύτερον τέσσαρσι γενεαῖς τετελευτηκότα, ὧν
300 ἐστιν ἔτη σχεδὸν ἑβδομήκοντα καὶ ἑκατόν. ἀλλὰ

[1] *quasi proprium* Lat.: ἠδίων, δς Niese.
[2] *ed. pr.*: ἐκπολεμῆσαι L.
[3] *ed. pr.*: φεύγειν L. [4] ἀγαγεῖν *ed. pr.*

٣٠٠- وفي الحق إنه وفقاً لما ورد عند (مانيثون) فإن رامبسيس بن (الملك) أمينوفيس قد حارب وهو في سن الشباب مع والده، وأنه كان معه أثناء هروبه وشاركه منفاه في إثيوبيا. علي حين زعم (خايريمون في روايته) أنه قد ولد في كهف بعد وفاة أبيه[١٩٦]، وأنه دحر اليهود بعد ذلك في المعركة وطردهم إلى سوريا، وأن عددهم كان يبلغ حوالي عشرين ألف شخص.

٣٠١- فيا له من استخفاف (بالعقول)! ذلك أنه لم يذكر في البداية هوية هؤلاء الثلاثمائة وثمانين ألفاً، ثم إذا به يتقاعس بعد ذلك عن ذكر الكيفية التي هلك بها الأربعمائة وثلاثون ألفاً[١٩٧]، فهل لقوا حتفهم في المعركة، أم نقلوا ولاءهم إلى رامبسيس وانضموا إلى جيشه؟

٣٠٢- غير أن العجب العجاب في كافة الأمور، هو أنه من المحال أن تعرف منه ما الذي يعنيه بكلمة "اليهود"، أو علي مَنْ مِن الطائفتين يطلق هذه التسمية! تري هل يطلقها علي المائتين وخمسين ألفاً المصابين بمرض الجذام؟ أم علي الثلاثمائة وثمانين ألفاً الذين كانوا (محتجزين) علي مشارف بيلوسيون؟

٣٠٣- والحق يقال إن من السذاجة بمكان أن ينفق المرء وقتاً أطول من اللازم في تفنيد روايات مؤرخين يدحض بعضهم (أقوال) البعض الآخر، (وأعتقد أن) الأكثر حصافة هو أن ندخر (هذا الجهد لمناقشة) مؤلفين آخرين.

الفصل الرابع والثلاثون

٣٠٤- لذا دعنا الآن ننتقل من هؤلاء إلى ليسيماخوس[١٩٨]، إذ أنه تعرض للموضوع ذاته الذي تناوله (الكاتبان) السالف ذكرهما، وأعني به القصة المختلقة الزائفة عن المصابين بمرض الجذام والمشوهين (في أجسادهم). غير أنه يظفر بالقدح المعلى عليهما معاً في انعدام معقولية ما افتراه ودسه (زوراً وبهتاناً)؛ فمن الواضح أنه اختلق ما اختلقه مدفوعاً إليه بحقد دفين وكراهية عمياء.

μὴν ὁ Ῥαμέσσης ὁ τοῦ Ἀμενώφιος υἱὸς κατὰ μὲν τὸν Μανέθων νεανίας συμπολεμεῖ τῷ πατρὶ καὶ συνεκπίπτει φυγὼν εἰς τὴν Αἰθιοπίαν, οὗτος δὲ πεποίηκεν αὐτὸν μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἐν σπηλαίῳ τινὶ γεγενημένον καὶ μετὰ ταῦτα νικῶντα μάχῃ καὶ τοὺς Ἰουδαίους εἰς Συρίαν ἐξελαύνοντα, τὸν ἀριθμὸν ὄντας περὶ μυριάδας κ'.
301 ὧ τῆς εὐχερείας· οὔτε γὰρ πρότερον οἵτινες ἦσαν αἱ τριάκοντα καὶ ὀκτὼ μυριάδες εἶπεν, οὔτε πῶς αἱ τεσσαράκοντα[1] καὶ τρεῖς διεφθάρησαν, πότερον ἐν τῇ μάχῃ κατέπεσον ἢ πρὸς τὸν Ῥαμέσσην
302 μετεβάλοντο. τὸ δὲ δὴ θαυμασιώτατον, οὐδὲ τίνας καλεῖ τοὺς Ἰουδαίους δυνατόν ἐστι παρ' αὐτοῦ μαθεῖν ἢ ποτέροις αὐτῶν[2] τίθεται ταύτην τὴν προσηγορίαν, ταῖς κε' μυριάσι τῶν λεπρῶν
303 ἢ ταῖς η' καὶ λ' ταῖς περὶ τὸ Πηλούσιον. ἀλλὰ γὰρ εὔηθες ἴσως ἂν εἴη διὰ πλειόνων ἐλέγχειν τοὺς ὑφ' ἑαυτῶν ἐληλεγμένους· τὸ γὰρ ὑπ' ἄλλων ἦν μετριώτερον.
304 (34) Ἐπεισάξω δὲ τούτοις Λυσίμαχον, εἰληφότα μὲν τὴν αὐτὴν τοῖς προειρημένοις ὑπόθεσιν τοῦ ψεύσματος περὶ τῶν λεπρῶν καὶ λελωβημένων, ὑπερπεπαικότα δὲ τὴν ἐκείνων ἀπιθανότητα τοῖς πλάσμασι, δῆλος συντεθεικὼς κατὰ πολλὴν ἀπ-
305 έχθειαν. λέγει γὰρ ἐπὶ Βοκχόρεως τοῦ Αἰγυπτίων βασιλέως τὸν λαὸν τῶν Ἰουδαίων, λεπροὺς ὄντας

[1] *ed. pr.*: εἴκοσι L. [2] *ed. pr.*: αὐτοῖς L.

٣٠٥- إذ أنه يحدثنا علي النحو التالي:

"أثناء حكم بوكخوريس[١٩٩]، ملك مصر، لاذ الشعب اليهودي - (الذي كان أفراده) مصابين بمرض الجذام والجرب، أو يعانون من أمراض أخرى- لاذوا بالمعابد يحتمون بها، وطفقوا يستجدون ما يسد رمقهم من غذاء. ولقد سقط عدد كبير جداً من البشر صرعى لإصابتهم بهذه الأمراض، كما حلت مجاعة ونقص في الثمرات بأرض مصر.

٣٠٦- ومن ثم فقد أرسل بوكخوريس، ملك مصر، كي يستفسر من نبوءة الإله آمون[٢٠٠] عن سبب عدم إنبات (الأرض) للمحاصيل والثمرات. فأجابه الإله بأنه (يتعين عليه) أن يقوم بتطهير المعابد من الأشخاص المدنسين والفجار، وأن يقوم بطردهم من المعابد إلى الصحراء والبرية، وأن يغرق المصابين بالجرب والجذام في اليم، لأن الشمس تشعر بالحنق والغضب بسبب وجود هؤلاء الأشخاص علي قيد الحياة. كما أمره الإله أيضاً بأن يطهر المعابد (من كل دنس)، وعندئذ سوف تؤتي الأرض ثمارها.

٣٠٧- وعندما تلقي بوكخوريس هذا الرد من لدن نبوءة الإله، استدعي الكهنة والقائمين علي أمر المذابح والقرابين، وطلب منهم أن يقوموا بإعداد قائمة بالأشخاص المدنسين، وأن يقدموها إلى السلطات العسكرية كي تقوم باقتيادهم إلى الصحراء. كما أمر (الملك) بأن تلف ألواح من الرصاص حول (أجسام) المصابين بمرض الجذام، كي تساعد علي إغراقهم في مياه البحر.

٣٠٨- وبعد أن تم له إغراق المصابين بالجذام والجرب، قام بحشد الآخرين وألقي بهم في فيافي الصحاري والقفار ليلقوا حتفهم. وهناك تجمع هؤلاء وشرعوا في التشاور حول مصيرهم، وعندما جن الليل قاموا بإشعال النيران وإيقاد المشاعل حتى يحموا أنفسهم من (وحوش الفلاة والسباع). وفي الليلة التالية صاموا عن الطعام والشراب، وابتهلوا إلي الأرباب أن ينقذوهم (من هذا البلاء).

٣٠٩- وفي اليوم التالي، نصحهم شخص يدعي موسي (عليه السلام) بأن يتمسكوا (بأهداب الصبر) والشجاعة، وأن يشقوا طريقاً لهم حتى يصلوا إلى منطقة آهلة بالسكان. كذلك أصدر لهم تعليمات تقضي بألا يعاملوا أي شخص من بني البشر بالحسنى[٢٠١]، وأن يقدموا من النصح (إذا ما طلب ذلك منهم) أسوأه لا أفضله، وأن يهدموا معابد الأرباب ومذابحهم أينما ثقفوها، وأن يقلبوها رأساً علي عقب.

καὶ ψωροὺς καὶ ἄλλα νοσήματά τινα ἔχοντας[1] εἰς τὰ ἱερὰ καταφεύγοντας μεταιτεῖν τροφήν, παμπόλλων δὲ ἀνθρώπων νοσηλείᾳ περιπεσόντων
306 ἀκαρπίαν ἐν τῇ Αἰγύπτῳ γενέσθαι. Βόκχοριν δὲ τὸν τῶν Αἰγυπτίων βασιλέα εἰς Ἄμμωνα[2] πέμψαι περὶ τῆς ἀκαρπίας τοὺς μαντευσομένους, τὸν θεὸν δ' ἀναιρεῖν[3] τὰ ἱερὰ καθᾶραι ἀπ' ἀνθρώπων ἀνάγνων καὶ δυσσεβῶν, ἐκβαλόντα αὐτοὺς ἐκ τῶν ἱερῶν εἰς τόπους ἐρήμους, τοὺς δὲ ψωροὺς καὶ λεπροὺς βυθίσαι, ὡς τοῦ ἡλίου ἀγανακτοῦντος ἐπὶ τῇ τούτων ζωῇ, καὶ τὰ ἱερὰ ἁγνίσαι, καὶ οὕτω τὴν γῆν
307 καρποφορήσειν. τὸν δὲ Βόκχοριν τοὺς χρησμοὺς λαβόντα τούς τε ἱερεῖς καὶ ἐπιβωμίτας προσκαλεσάμενον κελεῦσαι ἐπιλογὴν ποιησαμένους τῶν ἀκαθάρτων τοῖς στρατιώταις τούτους παραδοῦναι κατάξειν αὐτοὺς εἰς τὴν ἔρημον, τοὺς δὲ λεπροὺς εἰς μολιβδίνους χάρτας ἐνδήσαντας,[4] ἵνα καθῶσιν
308 εἰς τὸ πέλαγος. βυθισθέντων δὲ τῶν λεπρῶν καὶ ψωρῶν τοὺς ἄλλους συναθροισθέντας εἰς τόπους ἐρήμους ἐκτεθῆναι ἐπ' ἀπωλείᾳ, συναχθέντας δὲ βουλεύσασθαι περὶ αὐτῶν, νυκτὸς δὲ ἐπιγενομένης πῦρ καὶ λύχνους καύσαντας φυλάττειν ἑαυτούς, τήν τ' ἐπιοῦσαν νύκτα νηστεύσαντας ἱλάσκεσθαι
309 τοὺς θεοὺς περὶ τοῦ σῶσαι αὐτούς. τῇ δ' ἐπιούσῃ ἡμέρᾳ Μωυσῆν τινα συμβουλεῦσαι αὐτοῖς παραβαλλομένους[5] μίαν ὁδὸν τέμνειν ἄχρις ἂν [ὅτου][6] ἔλθωσιν εἰς τόπους οἰκουμένους, παρακελεύσασθαί τε αὐτοῖς μήτε ἀνθρώπων τινὶ εὐνοεῖν[7] μήτε

[1] *ed. pr.* (Lat.?): ἐχόντων L.
[2] L Lat.: Ἄμμωνος Bekker (*cf.* § 312).
[3] Conj. (*cf.* Lat. *respondisse*): ἐρεῖν L, εἰπεῖν *ed. pr.*, ἀνελεῖν Niese.
[4] ? read ἐνδῆσαι.

٣١٠- ولقد أقر هؤلاء (القوم) - على بكرة أبيهم - بهذه التعليمات وأذعنوا لها، ثم انطلقوا عبر الصحراء لوضعها موضع التنفيذ. وبعد أن لاقوا ما فيه الكفاية من الأهوال وصلوا إلى بلاد مأهولة بالسكان. وهناك كالوا الإهانات للناس وساموهم سوء العذاب، ونهبوا المعابد وأضرموا فيها النيران، إلى أن بلغوا بلاداً يطلق عليها الآن اسم يودايا (= يهودية)، وهناك شيدوا مدينة ليقطنوا فيها.

٣١١- ولقد أطلقوا علي هذه المدينة اسم هييروسيلا[٢٠٢] [أي: مدينة لصوص المعابد] إشارة إلى مسلكهم (المشين) هذا. ولكنهم بعد حقبة من الزمن - حينما استتب لهم الأمر، وتزودوا بالقوة والمنعة - قاموا بتغيير اسمها، بغية تفادي العار والشنار، وسموها هييروسوليما (= أورشليم)، كما أسموا أنفسهم الهييروسوليميتاي (= أهل أورشليم)".

الفصل الخامس والثلاثون

٣١٢- وفي الحق أن (**ليسيماخوس**) يختلف عن زميليه (المؤرخيْن سالفيْ الذكر) في أنه قد ذكر ملكاً ابتدعه وأطلق عليه اسماً بالغ الغرابة، كما أنه تجاهلَ (قصة) الحلم، وغضَّ الطرف عن العراف المصري، ومضي قدماً إلى (الإله) آمون، كي يلمح إلى نبوءة تتعلق بالمرضي المصابين بالجرب والجذام.

٣١٣- ثم إنه يتحدث عن حشد من اليهود الذين تجمعوا في المعابد، فهل يا ترى يقصد بهذا الاسم المصابين بمرض الجذام؟ أم أنه يبغي القول أن اليهود - دون سواهم - هم الذين ابتلوا وحدهم بهذا الداء (الوبيل)؟ ثم إنه يقول: "**شعب اليهود**".

٣١٤- فأي شعب يعنيه؟ وهل هم نازحون أم أصلاء؟ فلو أنهم كانوا مصريين فلماذا يسميهم باليهود؟ ولو أنهم كانوا أجانب فلماذا لم يذكر من أين وفدوا؟ وكيف تأتي (بالله عليكم)- بعد أن قام الملك بإغراق أعداد كبيرة منهم في البحر، وبعد أن قام بنفي من تبقي منهم إلى الصحاري والقفار- أن يبلغ عدد الناجين منهم هذا القدر الكبير؟

٣١٥- بل كيف تسني لهم أن يجتازوا الفيافي والقفار، وأن يقهروا سكان

τἄριστα συμβουλεύειν[1] ἀλλὰ τὰ χείρονα, θεῶν τε
ναοὺς καὶ βωμούς, οἷς ἂν περιτύχωσιν, ἀνατρέπειν.
310 συναινεσάντων δὲ τῶν ἄλλων τὰ δοχθέντα ποιοῦν-
τας διὰ τῆς ἐρήμου πορεύεσθαι, ἱκανῶς δὲ ὠχλη-
θέντας ἐλθεῖν εἰς τὴν οἰκουμένην χώραν, καὶ τούς
τε ἀνθρώπους ὑβρίζοντας καὶ τὰ ἱερὰ συλῶντας
καὶ ἐμπρήσαντας ἐλθεῖν εἰς τὴν νῦν Ἰουδαίαν
προσαγορευομένην, κτίσαντας δὲ πόλιν ἐνταῦθα
311 κατοικεῖν. τὸ δὲ ἄστυ τοῦτο Ἱερόσυλα[2] ἀπὸ τῆς
ἐκείνων διαθέσεως ὠνομάσθαι. ὕστερον δ' αὐτοὺς
ἐπικρατήσαντας χρόνῳ διαλλάξαι τὴν ὀνομασίαν
πρὸς τὸ ‹μὴ›[3] ὀνειδίζεσθαι, καὶ τήν τε πόλιν
Ἱεροσόλυμα καὶ αὐτοὺς Ἱεροσολυμίτας προσ-
αγορεύεσθαι.
312 (35) Οὗτος[4] οὐδὲ τὸν αὐτὸν ἐκείνοις εὗρεν εἰπεῖν βα-
σιλέα, καινότερον δ' ὄνομα συντέθεικεν, καὶ παρεὶς
ἐνύπνιον καὶ προφήτην Αἰγύπτιον εἰς Ἄμμωνος
ἀπελήλυθεν περὶ τῶν ψωρῶν καὶ λεπρῶν χρησμὸν
313 οἴσων. φησὶ γὰρ εἰς τὰ ἱερὰ συλλέγεσθαι πλῆθος
Ἰουδαίων. ἆρά γε τοῦτο τοῖς λεπροῖς ὄνομα
θέμενος ἢ μόνων τῶν Ἰουδαίων τοῖς νοσήμασι
περιπεσόντων; λέγει γάρ "ὁ λαὸς τῶν Ἰου-
314 δαίων." ὁ ποῖος;[5] ἔπηλυς ἢ τὸ γένος ἐγχώριος;
διὰ τί τοίνυν Αἰγυπτίους αὐτοὺς ὄντας Ἰουδαίους
καλεῖς; εἰ δὲ ξένοι, διὰ τί πόθεν οὐ λέγεις; πῶς
δὲ τοῦ βασιλέως πολλοὺς μὲν αὐτῶν βυθίσαντος
εἰς τὴν θάλασσαν, τοὺς δὲ λοιποὺς εἰς ἐρήμους
τόπους ἐκβαλόντος, τοσοῦτοι τὸ πλῆθος ὑπ-
315 ελείφθησαν; ἢ τίνα τρόπον διεξῆλθον μὲν τὴν

[1] Niese: ἄριστα συμβουλεύσειν L.
[2] *ed. pr.*: Ἱεροσόλυμα L. [3] ins. Hudson.
[4] + οἷν Lat. (apparently) [5] ὁ ποῖος; Herwerden: ὁποῖος L.

البلاد التي نقيم فيها الآن، وأن يؤسسوا مدينة، وأن يشيدوا معبداً له مثل هذه الشهرة الذائعة في العالمين؟

٣١٦- أفلم يكن حرياً به ألا يكتفي بمجرد ذكر اسم واهب الناموس والتشريع (أي: **موسى** عليه السلام)؟ أو لم يكن واجباً عليه كذلك أن يحيطنا علماً بأرومته وتسلسل نسبة وسلالته، وأن يخبرنا عن السبب الذي دفعه وحدا به إلى سن مثل هذه القوانين لهم عن الأرباب وعن الظلم والإساءات، التي صبوا وابلاً منها علي البشر خلال مسيرتهم؟

٣١٧- فلو أنهم كانوا مصريين - أرومة وعرقاً - لما جاز لهم أن ينبذوا وراء ظهرانيهم بمثل هذه السهولة تقاليد آبائهم وأعراف أجدادهم! ولو أنهم كانوا وافدين نازحين فلابد أنه كانت لديهم بالتأكيد قوانين معينة تعضدها عادات (صارمة) ممتدة منذ زمن طويل!

٣١٨- وبناء على ذلك، فلو أن هؤلاء (الثوار المدنسين) قد التزموا بعهد وقسم (غليظ)، يقضيان بأن يكنوا العداوة والبغضاء على طول الخط لمن أقدموا علي نفيهم، لعددنا هذا تفسيراً وجيها وسببا مقنعاً. أما وأنهم علي حالتهم هذه التي تدعو للرثاء - كما يصفهم هو بنفسه - والتي هي قمينة بأن تدفع بهم دفعاً لطلب العون من كل شخص ومن كل صوب وحدب، ثم يعلنون رغم ذلك حرباً ضروساً لا هوادة فيها علي كل البشر (دون تفرقة)، فإن هذا أمراً يكشف عن حماقة بالغة، لا من جانبهم بل من جانب (المؤرخ) الذي يفتري (علي الله) كذباً. وعلاوة علي هذا فانه يتجاسر ويذكر أنهم أطلقوا على مدينتهم اسماً مأخوذاً عن مسلكهم (السالف ذكره) في نهب المعابد، وأنهم عدلوه فيما بعد!

٣١٩- ومن الواضح حقاً أن الاسم (الذي اختاروه) قد جلب الخزي والمقت علي الأجيال التي جاءت من بعدهم! ولكن تري هل كان في نية هؤلاء الذين أسسوا المدينة أن يغدقوا المجد والشرف علي أنفسهم عن طريق إطلاق مثل هذه التسمية (المشينة)؟ ولعل هذا العلامة الجهبذ[٢٠٣] الذي اجترأ على إيراد هذا الكم الوفير من السخرية الوقحة (ضدنا)، قد عجز عن معرفة أننا معشر اليهود لا نطلق على **لصوص المعابد** كلمة hierosylein التي تستخدم بذات الصوت أو النطق في اللغة اليونانية.

٣٢٠- فماذا عسي أن يقول المرء أكثر من ذلك لمثل هذا المؤرخ الكاذب الصفيق؟!!!!

والحق يقال إن هذا (الجزء من) الكتاب قد بلغ الآن بالفعل حجماً مناسباً، ولذا فإنني سوف أشرع في تدوين جزء آخر بدءًا من هذه النقطة، وسوف أحاول أن استوفي (في هذا الجزء) ما تبقي لموضوعي هذا من عناصر وأفكار.

ἔρημον, ἐκράτησαν δὲ τῆς χώρας ἧς νῦν κατ-
οικοῦμεν, ἔκτισαν δὲ καὶ πόλιν καὶ νεὼν ᾠκοδο-
316 μήσαντο πᾶσι περιβόητον; ἐχρῆν δὲ καὶ περὶ
τοῦ νομοθέτου μὴ μόνον εἰπεῖν τοὔνομα, δηλῶσαι
δὲ καὶ τὸ γένος ὅστις ἦν καὶ τίνων. διὰ τί δὲ
τοιούτους ἂν αὐτοῖς ἐπεχείρησε τιθέναι νόμους
περὶ θεῶν καὶ τῆς πρὸς ἀνθρώπους ἀδικίας κατὰ
317 τὴν πορείαν; εἴτε γὰρ Αἰγύπτιοι τὸ γένος ἦσαν,
οὐκ ἂν ἐκ τῶν πατρίων ἐθῶν οὕτω ῥᾳδίως μετ-
εβάλοντο, εἴτ' ἀλλαχόθεν ἦσαν, πάντως τινὲς ὑπ-
ῆρχον αὐτοῖς νόμοι διὰ μακρᾶς συνηθείας πεφυλαγ-
318 μένοι. εἰ μὲν οὖν περὶ τῶν ἐξελασάντων αὐτοὺς
ὤμοσαν μηδέποτε εὐνοήσειν, λόγον εἶχεν εἰκότα,
πᾶσι δὲ πόλεμον ἀνθρώποις ἀκήρυκτον ἄρασθαι τού-
τους, εἴπερ ἔπραττον ὡς αὐτὸς λέγει κακῶς, παρὰ
πάντων βοηθείας δεομένους, ἄνοιαν οὐκ ἐκείνων ἀλλὰ
τοῦ ψευδομένου πάνυ πολλὴν παρίστησιν, ὅς γε καὶ
τοὔνομα θέσθαι τῇ πόλει ἀπὸ τῆς ἱεροσυλίας αὐτοὺς
ἐτόλμησεν εἰπεῖν, τοῦτο δὲ μετὰ ταῦτα παρατρέψαι.
319 δῆλον γὰρ ὅτι τοῖς μὲν ὕστερον γενομένοις αἰσχύνην
τοὔνομα καὶ μῖσος ἔφερεν, αὐτοὶ δ' οἱ κτίζοντες
τὴν πόλιν κοσμήσειν αὐτοὺς ὑπελάμβανον οὕτως
ὀνομάσαντες. ὁ δὲ γενναῖος ὑπὸ πολλῆς ‹τῆς›[1] τοῦ
λοιδορεῖν ἀκρασίας οὐ συνῆκεν ὅτι ἱεροσυλεῖν οὐ
κατὰ τὴν αὐτὴν φωνὴν Ἰουδαῖοι τοῖς Ἕλλησιν
320 ὀνομάζομεν. τί ‹ἂν› οὖν ἐπὶ[2] πλείω τις λέγοι πρὸς
τὸν ψευδόμενον οὕτως ἀναισχύντως;

Ἀλλ' ἐπειδὴ σύμμετρον ἤδη τὸ βιβλίον εἴληφε
μέγεθος, ἑτέραν ποιησάμενος ἀρχὴν τὰ λοιπὰ τῶν
εἰς τὸ προκείμενον πειράσομαι προσαποδοῦναι.

[1] ins. Niese. [2] ἔτι *ed. pr.* (but *cf.* ii. 262).